ιζ΄. Ταῦτα μὲν οὖν ἀπόχρη περὶ τούτων. Ἐφεξῆς δὲ τὸ τῆς
2 παῤῥησίας ἴδωμεν. Ἔδει μὲν γάρ, ὡς ὁ Πάτροκλος τοῦ Ἀχιλλέως τὰ ὅπλα περιβαλλόμενος, καὶ τοὺς ἵππους ἐξελαύνων ἐπὶ τὴν μάχην, μόνης οὐκ ἐτόλμησεν τῆς Πηλιάδος θίγειν, ἀλλ' ἀφῆκεν, οὕτω τὸν κόλακα, τοῖς τοῦ φίλου σκευοποιούμενον καὶ ἀναπλαττόμενον ἐπισήμοις καὶ συμβόλοις, μόνην τὴν παῤῥησίαν, ὥσπερ ἐξαίρετον βάσταγμα φιλίας,

Βριθύ, μέγα, στιβαρόν,—

3 καταλιπεῖν ἄθικτον καὶ ἀμίμητον. Ἐπεὶ δὲ φεύγοντες τὸν ἐν γέλωτι καὶ ἀκράτῳ καὶ σκώμμασι καὶ παιδιαῖς ἔλεγχον, εἰς ὀφρῦν αἴρουσιν ἤδη τὸ πρᾶγμα καὶ κολακεύουσιν ἐσκυθρωπακότες, καὶ ψόγον τινὰ καὶ νουθεσίαν παραμιγνύουσι· φέρε μη-
4 δὲ τοῦτο παραλείπωμεν ἀβασάνιστον. Οἶμαι δέ, ὥσπερ ἐν κωμῳδίᾳ Μενάνδρου Ψευδηρακλῆς πρόσεισι ῥόπαλον κομίζων, οὐ στιβαρόν, οὐδ' ἰσχυρόν, ἀλλὰ χαῦνόν τι πλάσμα καὶ διάκενον, οὕτω τὴν τοῦ κόλακος παῤῥησίαν φανεῖσθαι πειρωμένοις μαλθακὴν καὶ ἀβαρῆ, καὶ τόνον οὐκ ἔχουσαν, ἀλλὰ ταὐτὸν τοῖς τῶν γυναικῶν προσκεφαλαίοις δρῶσαν, ἃ δοκοῦντα ταῖς κεφαλαῖς ἀντερείδειν καὶ ἀντέχειν, ἐνδίδωσι καὶ ὑπείκει μᾶλλον· ὥσπερ ἡ κίβδηλος αὕτη παῤῥησία κενὸν ἔχουσα καὶ ψευδῆ καὶ ὕπουλον ὄγκον, ἐξήρθη καὶ ᾤδησεν, ἵνα συσταλεῖσα καὶ συμπεσοῦσα δέξηται καὶ συνεπισπάσηται τὸν καταφερόμενον
5 εἰς αὐτήν. Ἡ μὲν γὰρ ἀληθὴς καὶ φιλικὴ παῤῥησία τοῖς ἁμαρτανομένοις ἐπιφύεται, σωτήριον ἔχουσα καὶ κηδεμονικὸν τὸ λυποῦν, ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνουσα καὶ καθαίρουσα, τἄλλα δὲ ὠφέλιμος οὖσα καὶ γλυκεῖα, περὶ ἧς ἴδιος ἔσται λόγος. Ὁ δὲ κόλαξ πρῶτον μὲν ἐνδείκνυται τὸ πικρὸς εἶναι καὶ πε-
6 ρισπερχὴς καὶ ἀπαραίτητος ἐν τοῖς πρὸς ἑτέρους. Οἰκέταις τε
7 γὰρ αὐτοῦ χαλεπός ἐστι, καὶ συγγενῶν καὶ οἰκείων ἐπεμβῆναι δεινὸς ἁμαρτήμασι, καὶ μηδένα θαυμάσαι, μηδὲ σεμνῦναι τῶν ἐκτός, ἀλλ' ὑπερορᾶν· ἀσυγγνώμων δὲ καὶ διάβολος ἐν τῷ πρὸς ὀργὴν ἑτέρους παροξύνειν, θηρώμενος μισοπονηρίας δόξαν, ὡς οὐκ ἂν ἑκὼν ὑφέμενος παῤῥησίας αὐτοῖς, οὐδὲ ποιήσας οὐδέν, οὐδ'

---

μάρτημα τοῦτο τοῦ Πλουτάρχου, ὅτι ἠγωνίσθη ὁ Κρίσσων πρὸς Ἀλέξανδρον πολὺ νεώτερον αὐτοῦ.

ιζ΄. 2. Βριθύ, μέγα, στιβαρόν) Ἴδε Ἰλιάδ. Π. 141.

5. Κηδεμονικὸν τὸ λυποῦν, ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνουσα . . .) ἀρέσκεται ὁ Πλούταρχος εἰς τὴν παρομοίωσιν ταύτην. Εὐθὺς ἐν Φωκίωνος βίῳ, «καθάπερ τὸ μέλι λυπεῖ τὰ τετρωμένα καὶ ἡλκωμένα μέρη τοῦ σώματος, οὕτω πολλάκις οἱ ἀληθινοὶ καὶ νοῦν ἔχοντες λόγοι δάκνουσι καὶ παροξύνουσι τοὺς κακῶς πράττοντας, ἐὰν μὴ προσηνεῖς ὦσι καὶ συνείκοντες.» Ἴδε καὶ Δίων. Χρυσόστ. Λόγ. νζ΄. σελ. 57.

— Περὶ ἧς ἴδιος ἔσται λόγος) Ἐν αὐτῷ τούτῳ τῷ συγγράμματι. Ἴδε § κς΄.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

εἰπὼν πρὸς χάριν. Ἔπειτα δὲ τῶν μὲν ἀληθινῶν καὶ μεγάλων
ἁμαρτημάτων οὐδὲν εἰδέναι προσποιούμενος, οὐδὲ γινώσκειν, 8
πρὸς δὲ τὰ μικρὰ καὶ τὰ ἐκτὸς ἐλλείμματα δεινὸς ἀΐξαι, καὶ
μετὰ τόνου καθάψασθαι καὶ σφοδρότητος, ἂν σκεῦος ἀμελῶς
ἴδῃ κείμενον, ἂν οἰκοῦντα φαύλως, ἂν ὀλιγωροῦντα κουρᾶς ἢ
ἀμπεχόνης, ἢ κυνός τινος ἢ ἵππου μὴ κατ᾽ ἀξίαν ἐπιμελόμενον·
γονέων δὲ ὀλιγωρία, καὶ παίδων ἀμέλεια, καὶ ἀτιμία γαμετῆς,
καὶ πρὸς τοὺς οἰκείους ὑπεροψία, καὶ χρημάτων ὄλεθρος, οὐδέν ἐστι πρὸς αὐτόν, ἀλλ᾽ ἄφωνος ἐν τούτοις καὶ ἄτολμος· ὥσπερ ἀθλητὴν ἀλείπτης ἐῶν μεθύειν καὶ ἀκολασταίνειν, εἶτα
περὶ ληκύθου χαλεπὸς ὢν καὶ στλεγγίδος· ἢ γραμματικὸς ἐπιπλήττων μὲν παιδὶ περὶ δέλτου καὶ γραφείου, σολοικίζοντος
δὲ καὶ βαρβαρίζοντος οὐ δοκῶν ἀκούειν. Τοιοῦτος γὰρ ὁ κό- 9
λαξ, οἷος ῥήτορος φαύλου καὶ καταγελάστου μηδὲν εἰπεῖν πρὸς
τὸν λόγον, ἀλλὰ περὶ τῆς φωνῆς αἰτιᾶσθαι, καὶ χαλεπῶς ἐγκαλεῖν, ὅτι τὴν ἀρτηρίαν διαφθείρει ψυχροποτῶν· καὶ σύγραμμα κελευσθεὶς ἄθλιον διελθεῖν, αἰτιᾶσθαι τὸ χαρτίον ὡς δασύ,
καὶ τὸν γραφέα μιαρὸν καὶ ὀλίγωρον ἀποκαλεῖν. Οὕτως δὲ καὶ 10
Πτολεμαίῳ φιλομαθεῖν δοκοῦντι, περὶ γλώττης καὶ στιχιδίου
καὶ ἱστορίας μαχόμενοι, μέχρι μέσων νυκτῶν ἀπέτεινον· ὠμότητι δὲ χρωμένου καὶ ὕβρει, καὶ τυμπανίζοντος καὶ τελοῦντος, οὐδεὶς ἐνέστη τῶν τοσούτων. Ὥσπερ οὖν εἴ τις ἀνθρώπου 11
φύματα καὶ συρίγγας ἔχοντος ἰατρικῷ σμιλίῳ τὰς τρίχας τέμνοι καὶ τοὺς ὄνυχας, οὕτως οἱ κόλακες τὴν παῤῥησίαν πρὸς
τὰ μὴ λυποῦμενα μέρη μηδ᾽ ἀλγοῦντα προσφέρουσιν.

ιή. Ἔτι δὲ τούτων ἕτεροι πανουργότεροι καὶ πρὸς ἡδονὴν
χρῶνται τῷ παῤῥησιάζεσθαι καὶ ψέγειν. Καθάπερ Ἄγις ὁ Ἀρ- 2
γεῖος, Ἀλεξάνδρου γελωτοποιῷ τινι μεγάλας δωρεὰς δόντος,
ὑπὸ φθόνου καὶ λύπης ἐξέκραγεν, Ὢ τῆς πολλῆς ἀτοπίας· ἐπιστρέψαντος δὲ τοῦ βασιλέως πρὸς αὐτὸν ὀργῇ, καὶ δή, Τί σὺ λέγεις, εἰπόντος, Ὁμολογῶ, φησίν, ἄχθεσθαι καὶ ἀγανακτεῖν, ὁρῶν ὑμᾶς τοὺς ἐκ Διὸς γεγονότας ἅπαντας ὁμοίως κόλαξιν ἀνθρώποις καὶ καταγελάστοις χαίροντας· καὶ γὰρ Ἡρακλῆς Κέρ-

---

10. Πτολεμαίῳ. — τῶν τοσούτων) αἰνίττεται ἐνταῦθα διὰ τῆς φιλοσπουδίας καὶ ἀπηνείας τὸν Ζ΄. Πτολεμαῖον, τὸν Εὐεργέτην Β΄. καὶ Φύσκωνα ἐπικαλούμενον. Τὰ δέ, τυμπανίζειν καὶ τελεῖν, ἂν ἐξηγηθῶσι κατὰ τὴν συνήθη σημασίαν, εἶναι γνωρίσματα τοῦ Δ΄. Πτολεμαίου τοῦ Φιλοπάτορος ἐπικαλουμένου. Ἀλλ᾽ ἐνταῦθα δηλοῦσι τὸ μὲν πρῶτον, αὐστηρῶς κολάζειν, τὸ δέ, σπαταλᾶν, καταδαπανᾶν.

ιή. 2. Ἄγις ὁ Ἀργεῖος [illegible] τοῦ Ἀλεξάνδρου κολάκων [illegible] 5, 6. ἦτο δὲ οὗτος [illegible] τὸν Καύστρον καὶ τὸν Ἀλέξανδρον (Ἀναβ. Ἀλεξ. Δ. 262 σελ.) ἐποποιὸς ὁ Χοιρίλος. — Κέρκωπες [illegible] Ἁρποκρατ. Διόδ. Σικελ. Δ [illegible]

ΒΙΒΛΙΟΘΗΚΗ
Ε. Χ. Δαπής ... ΙΩΑΝΝΙΝΑ 2006

κωφὶ τισι, καὶ Σειληνοῖς ὁ Διόνυσος ἐτέρπετο, καὶ παρὰ σοὶ
3 τούτους ἰδεῖν ἐστιν εὐδοκιμοῦντας. Τιβερίου δὲ Καίσαρος εἰς τὴν
σύγκλητόν ποτε παρελθόντος, εἷς τῶν κολάκων ἀναστὰς ἔφη, Δεῖν
ἐλευθέρους ὄντας παῤῥησιάζεσθαι, καὶ μηδὲν ὑποστέλλεσθαι,
μηδ' ἀποσιωπᾷν τῶν συμφερόντων· ἀνατείνας δὲ πάντας οὕ-
τως, γενομένης αὐτῷ σιωπῆς, καὶ τοῦ Τιβερίου προσέχοντος,
Ἄκουσον, ἔφη, Καῖσαρ, ἅ σοι πάντες ἐγκαλοῦμεν, οὐδεὶς δὲ
τολμᾷ φανερῶς λέγειν· ἀμελεῖς σεαυτοῦ, καὶ προΐεσαι τὸ σῶ-
μα, καὶ κατατρύχεις ἀεὶ φροντίσι καὶ πόνοις ὑπὲρ ἡμῶν, οὔ-
4 τε μεθ' ἡμέραν, οὔτε νύκτωρ ἀναπαυόμενος. Πολλὰ δὲ αὐτοῦ
τοιαῦτα συνείροντος, εἰπεῖν φασι τὸν ῥήτορα Κάσσιον Σευῆρον,
Αὕτη τοῦτον ἡ παῤῥησία τὸν ἄνθρωπον ἀποκτενεῖ.

ιθ'. Καὶ ταυτὶ μὲν ἐλάττονά ἐστιν. Ἐκεῖνα δὲ ἤδη χαλεπὰ
καὶ λυμαινόμενα τοὺς ἀνοήτους, ὅταν εἰς τὰ ἐναντία πάθη καὶ
νοσήματα κατηγορῶσιν· ὥσπερ Ἱμέριος ὁ κόλαξ τῶν πλουσίων
τινὰ ἀνελευθερώτατον καὶ φιλαργυρώτατον Ἀθήνησιν ὡς ἄσω-
τον ἐλοιδόρει καὶ ἀμελῆ, καὶ πεινήσοντα κακῶς μετὰ τῶν τέ-
κνων· ἢ τοὺς ἀσώτους αὖ πάλιν καὶ πολυτελεῖς εἰς μικρολο-
γίαν καὶ ῥυπαρίαν ὀνειδίζωσιν, ὥσπερ Νέρωνα Τῖτος Πετρώ-
νιος· ἢ τοὺς ὠμῶς καὶ ἀγρίως προσφερομένους ἄρχοντας ὑπη-
κόοις ἀποθέσθαι κελεύωσι τὴν πολλὴν ἐπιείκειαν, καὶ τὸν ἄ-
2 καιρον ἔλεον καὶ ἀσύμφορον. Ὅμοιος δὲ τούτοις καὶ ὁ τὸν εὐήθη
καὶ βλᾶκα καὶ ἀβέλτερον ὡς δεινόν τινα καὶ πανοῦργον φυ-
λάττεσθαι καὶ δεδιέναι προσποιούμενος· καὶ ὁ τοῦ βασκάνου δὲ
καὶ τῷ κακολογεῖν ἀεὶ καὶ ψέγειν χαίροντος, ἄν ποτε προα-
χθεὶς ἐπαινέσῃ τινὰ τῶν ἐνδόξων, καθαπτόμενος καὶ ἀντιλέγων
ὡς νόσημα τοῦτο ἔχοντος, Ἀθρώπους ἐπαινεῖς μηδενὸς ἀξίους·
τίς γὰρ οὗτός ἐστιν, ἢ τί λαμπρὸν ἢ πεποίηκεν, ἢ καὶ εἴρηκε;
3 Μάλιστα δὲ περὶ τοὺς ἔρωτας τοῖς κολακευομένοις ἐπιτίθενται
4 καὶ προσεκκαίουσιν. Ἀδελφοῖς μὲν γὰρ ὁρῶντες διαφερομένους,
ἢ γονέων ὑπερφρονοῦντας, ἢ πρὸς γυναῖκας αὐτῶν ὑπεροπτικῶς
ἔχοντας, οὔτε νουθετοῦσιν, οὔτ' ἐγκαλοῦσιν, ἀλλὰ καὶ προσε-
5 πιτείνουσι τὰς ὀργάς. Οὐ γὰρ αἰσθάνῃ σαυτοῦ, καὶ σὺ τούτων
αἴτιος, ἀεὶ θεραπευτικῶς προσφερόμενος καὶ ταπεινῶς· ἐὰν δὲ

— Σειληνοῖς) Ἴδε Αἰλιαν. Π. ἱστορ. Γ'. 18.

3. Μηδὲν ὑποστέλλεσθαι . . . τῶν συμφερόντων) Ἴδιος τῶν ῥητόρων ὁ τύπος. Παράβαλε Δημοσθ. Ὀλυνθ. Α'. «Οὐ χρὴ τὴν ἰδίαν ἀσφάλειαν σκοποῦντα ὑποστείλασθαί τι τῶν κοινῇ συμφερόντων.»

4. Κάσσιον Σευῆρον) Ῥήτωρ κατ' ἐκείνους τοὺς χρόνους περίφημος διὰ τὴν παῤῥησίαν.

ιθ'. Ἱμέριος ὁ κόλαξ. — Νέρωνα Τῖτος Πετρώνιος) Ὁ Ἱμέριος οὗτος ἄλλοθέν ποθεν δὲν εἶνε γνωστός. Ὁ δὲ Τῖτος Πετρώνιος εἶνε ὁ αὐτὸς τῷ παρὰ Τακίτῳ (χρονικ. Ις', 18, 19) καλουμέ-

Ε.Σ.Δ. της Κ. τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πρὸς ἑταίραν ἢ μοιχεύτριαν ἐρωμένην κνησμός τις ἐξ ὀργῆς καὶ ζηλοτυπίας ὑπογένηται, πάρεστι μετὰ παῤῥησίας λαμπρᾶς ἡ κολακεία, πῦρ ἐπὶ πῦρ ἐπεισφέρουσα, καὶ δικαιολογουμένη, καὶ κατηγοροῦσα τοῦ ἐρῶντος, ὡς ἀνέραστα πολλὰ καὶ σκληρὰ καὶ νεμεσητὰ ποιοῦντος.

Ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων.

Οὕτως Ἀντώνιον οἱ φίλοι τῆς Αἰγυπτίας ἐρῶντα καὶ καόμενον 6
ἀνέπειθον, ὡς ὑπ' ἐκείνης ἐρᾶται, καὶ λοιδοροῦντες ἐκάλουν ἀπα-
θῆ καὶ ὑπερήφανον. Ἡ μὲν γυνὴ καταλιποῦσα βασιλείαν τοσαύ- 7
την καὶ διατριβὰς εὐδαίμονας, φθείρεται μετὰ σοῦ στρατευο-
μένη, σχῆμα παλλακίδος ἔχουσα·

Σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστί,

καὶ περιορᾷς αὐτὴν ἀνιωμένην. Ὁ δ' ἡδέως ἐξελεγχόμενος ὡς 8
ἀδικῶν, καὶ τοῖς κατηγοροῦσι χαίρων, ὡς οὐδὲ τοῖς ἐπαινοῦσιν,
ἐλάνθανε τῷ νουθετεῖν δοκοῦντι προσδιαστρεφόμενος. Ἔοικε γὰρ 9
ἡ τοιαύτη παῤῥησία τοῖς τῶν ἀκολάστων δήγμασι γυναικῶν,
ἐγείρουσα καὶ γαργαλίζουσα τῷ δοκοῦντι λυπεῖν τὸ ἡδόμενον.
Καὶ καθάπερ τὸν ἄκρατον ἄλλως βοηθοῦντα πρὸς τὸ κώνειον, ἂν 10
ἐμμίξωσι προσβάλλοντες αὐτῷ, κομιδῇ ποιοῦσι τὴν τοῦ φαρ-
μάκου δύναμιν ἀβοήθητον, ὀξέως ἀναφερομένην ἐπὶ τὴν καρ-
δίαν ὑπὸ θερμότητος· οὕτως τὴν παῤῥησίαν ἐπιστάμενοι μέγα
βοήθημα πρὸς τὴν κολακείαν οὖσαν οἱ πονηροί, δι' αὐτῆς κο-
λακεύουσι τῆς παῤῥησίας. Ὅθεν οὐδὲ ὁ Βίας ἀπεκρίνατο κα- 11
λῶς τῷ πυθομένῳ, τί τῶν ζώων χαλεπώτατόν ἐστιν, ἀποκρι-
νάμενος, ὅτι τῶν μὲν ἀγρίων ὁ τύραννος, τῶν δὲ ἡμέρων ὁ κό-
λαξ. Ἀληθέστερον γὰρ ἦν εἰπεῖν, ὅτι τῶν κολάκων ἥμεροι μὲν 12
εἰσιν οἱ περὶ τὸ βαλανεῖον οὗτοι καὶ περὶ τὴν τράπεζαν· ὁ δὲ
εἰς τὰ δωμάτια καὶ τὴν γυναικωνῖτιν ἐκτείνων, ὥσπερ πλεκτά-
νας, τὸ πολυπρᾶγμον καὶ διάβολον καὶ κακόηθες, ἄγριος καὶ
θηριώδης καὶ δυσμεταχείριστος.

---

κῳ ἑταίρῳ τοῦ Νέρωνος, καὶ ἀποθανόντι κατὰ διαταγὴν αὐτοῦ.

5. Πῦρ ἐπὶ πῦρ) κοινοτάτη παροιμία· διασώζεται δὲ καὶ παρ' ἡμῖν. διότι λέγομεν «Φωτίαν ἐπάνω εἰς τὴν φωτίαν.»

— Ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων) Αἰσχύλειος ὁ στίχος ἐξ ἀπολωλότος δράματος, «οἱ Μυρμιδόνες.«

6. Ἀντώνιον. — Ἐρῶντα) Ἴδε Ἀντων. βίον.

7. Σοὶ δέ τις ἐν στήθεσσιν) Ὀδυσσ. Κ, 329.

11. Βίας. — τῶν ἡμέρων ὁ κόλαξ) Ἐν δὲ τῷ συμποσίῳ τῶν Σοφῶν εἰς τὸν Πιττακὸν ἀποδίδει τοῦτο· ὅμοιον ἀπεκρίθη καὶ Διογένης ὁ Κυνικὸς κατὰ Λαέρτ. ϛ', 51. πρὸς δὲ τούτοις καὶ Θεόκριτος ὁ Χῖος παρὰ Στοβ. Β', σελ. 31. ἀπεκρίθη. «Θεόκριτος ἐρωτηθεὶς ποῖα τῶν θηρίων ἐστὶ χαλεπώτατα; εἶπεν, ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσιν τελῶναι καὶ συκοφάνται.»

12. Ὥσπερ πλεκτάνας) Ὑπεννοεῖται τὸ πολύποδος· ὡς ἄλλοθι λέγει. «Τοῦ ἡγεμονικοῦ ἑπτὰ εἰσὶ μέρη τῆς ψυχῆς ἐκπε

κ΄. Εἷς δέ τις ἔοικε τρόπος εἶναι φυλακῆς, τὸ γινώσκειν καὶ
μνημονεύειν ἀεί, ὅτι τῆς ψυχῆς τὸ μὲν ἀληθινὸν καὶ φιλόκα-
λον καὶ λογικὸν ἐχούσης, τὸ δὲ ἄλογον καὶ φιλοψευδὲς καὶ πα-
θητικὸν, ὁ μὲν φίλος ἀεὶ τῷ κρείττονι πάρεστι σύμβουλος καὶ
συνήγορος, ὥσπερ ἰατρὸς τὸ ὑγιαῖνον αὔξων καὶ διαφυλάττων·
ὁ δὲ κόλαξ τῷ παθητικῷ καὶ ἀλόγῳ παρακάθηται, καὶ τοῦτα
κνᾷ καὶ γαργαλίζει καὶ ἀναπείθει καὶ ἀφίστησι τοῦ λογισμοῦ,
2 μηχανώμενος αὐτῷ πονηράς τινας ἡδυπαθείας. Ὥσπερ οὖν τῶν
σιτίων ἔστιν ἃ μήτε αἵματι προσφύεται, μήτε πνεύματι, μήτε
νεύροις τινὰ τόνον ἢ μυελοῖς προστίθησιν, ἀλλ᾽ αἰδοῖα παρα-
κινεῖ, κοιλίαν ἐγείρει, καὶ σάρκα ποιεῖ σαθρὰν καὶ ὕπουλον· οὕ-
τως ὁ τοῦ κόλακος λόγος οὐδὲν τῷ σωφρονοῦντι καὶ λογιζομέ-
νῳ προστίθησιν, ἀλλ᾽ ἡδονήν τινα τιθασσεύων ἔρωτος, ἢ θυ-
μὸν ἐντείνων ἀνόητον, ἢ διερεθίζων φθόνον, ἢ φρονήματος ὄγ-
κον ἐμποιῶν ἐπαχθῆ καὶ κενὸν, ἢ λύπῃ συνεπιθρηνῶν, ἢ τὸ κα-
κόηθες καὶ ἀνελεύθερον καὶ ἄπιστον, ἀεί τισι διαβολαῖς καὶ προαι-
σθήσεσι δριμὺ καὶ ψοφοδεὲς ποιῶν καὶ ὕποπτον, οὐ διαφεύξεται
3 τοὺς προσέχοντας. Ἀεὶ γὰρ ὑφορμεῖ τινι πάθει, καὶ τοῦτο πιαί-
νει, καὶ πάρεστι βουβῶνος δίκην ἑκάστοτε τοῖς ὑπούλοις καὶ
4 φλεγμαίνουσι τῆς ψυχῆς ἐπιγινόμενος. Ὀργίζῃ; κόλασον. Ἐπι-
5 θυμεῖς; ὤνησαι. Φοβῇ; φύγωμεν. Ὑπονοεῖς; πίστευον. Ἂν δὲ περὶ
ταῦτα δυσφώρατος ᾖ τὰ πάθη, διὰ σφοδρότητα καὶ μέγεθος ἐκ-
κρουομένου τοῦ λογισμοῦ, περὶ τὰ λοιπὰ λαθὴν παρέξει μᾶλ-
6 λον, ὅμοιος ὤν. Καὶ γὰρ ἐν ὑποψίᾳ κραιπάλης τινὸς ἢ πλη-
σμονῆς γενόμενον, καὶ διστάζοντα περὶ λουτροῦ καὶ τροφῆς, ὁ μὲν
φίλος ἐφέξει, φυλάττεσθαι καὶ προσέχειν παραινῶν· ὁ δὲ κόλαξ
εἰς τὸ βαλανεῖον ἕλκει, καὶ κελεύει νεαρόν τι παρατιθέναι, καὶ
7 μὴ κακοῦν ἀνατάσει τὸ σῶμα. Καὶ πρὸς ὁδὸν ἢ πλοῦν ἤ τινα πρᾶ-
ξιν ὁρῶν ἀπομαλθακιζόμενον, οὐ φήσει κατεπείγειν τὸν καιρὸν,
8 ἀλλὰ ταὐτὸν ποιήσειν ὑπερθεμένους, ἢ πέμψαντας ἕτερον. Ἂν δὲ ὑ-
πεσχημένος ἀργύριον οἰκείῳ τινὶ δανείσειν ἢ ἐπιδώσειν, μεταμέληται
μὲν, αἰδῆται δέ· τῇ χείρονι ῥοπῇ προστιθεὶς ἑαυτὸν ὁ κόλαξ ἐπέῤ-
ῥωσε τὴν εἰς τὸ βαλάντιον γνώμην, καὶ τὸ δυσωπούμενον ἐξέκο-
ψεν, ὡς ἀναλίσκοντα πολλὰ, καὶ πολλοῖς ἀρκεῖν ἐθέλοντα, φεί-
9 δεσθαι κελεύων. Ὅθεν, εἰ μὴ λανθάνωμεν ἑαυτοὺς ἐπιθυμοῦν-
τες, ἀναισχυντοῦντες, ἀποδειλιῶντες, οὐ λήσεται ἡμᾶς ὁ κό-
10 λαξ. Ἔστι γὰρ ὁ συνηγορῶν ἀεὶ τούτοις τοῖς πάθεσι, καὶ

---

φυκότα καὶ ἐκτεινόμενα εἰς τὸ σῶμα, καθάπερ αἱ τοῦ πολύποδος πλεκτάναι.»

κ΄. 6. Ἀνατάσει) Ἀνάτασις δηλοῖ ἀποχὴ, ἐγκράτεια.

περὶ τὰς τούτων ἐκβάσεις παῤῥησιαζόμενος. Ταῦτα μὲν οὖν ἱκανὰ περὶ τούτων.

κά. Ἐπὶ δὲ τὰς χρείας καὶ τὰς ὑπουργίας ἴωμεν ἤδη· καὶ
γὰρ ἐν ταύταις πολλὴν ἀπεργάζεται σύγχυσιν καὶ ἀσάφειαν
ὁ κόλαξ τῆς πρὸς τὸν φίλον διαφορᾶς, ἄοκνος δοκῶν εἶναι καὶ
πρόθυμος ἐν πᾶσι καὶ ἀπροφάσιστος. Ὁ γὰρ τοῦ φίλου τρό- 2
πος, ὥσπερ ὁ τῆς ἀληθείας μῦθος, ἁπλοῦς ἐστι κατ' Εὐριπί-
δην καὶ ἀφελὴς καὶ ἄπλαστος· ὁ δὲ τοῦ κόλακος ὄντως

Νοσῶν ἐν αὑτῷ, φαρμάκων δεῖται σοφῶν,

καὶ πολλῶν νὴ Δία καὶ περιττῶν. Ὥσπερ οὖν ἐν ταῖς ἀπαν- 3
τήσεσιν ὁ μὲν φίλος ἔστιν ὅτε μήτε εἰπὼν μήτε ἀκούσας μη-
δὲν, ἀλλὰ προσβλέψας καὶ μειδιάσας, τὸ εὐμενὲς καὶ τὸ οἰκεῖον ἔνδοθεν διδοὺς ταῖς ὄψεσι καὶ δεξάμενος, παρῆλθεν, ὁ δὲ κόλαξ τρέχει, καταδιώκει, δεξιοῦται πόῤῥωθεν, ἂν προσαγορευθῇ πρότερον ὀφθεὶς, ἀπολογεῖται μετὰ μαρτύρων καὶ ὅρκων πολλάκις· οὕτως ἐν ταῖς πράξεσι πολλὰ παραλείπουσιν οἱ φίλοι τῶν μικρῶν, οὐκ ἐξακριβοῦντες, οὐδὲ πολυπραγμονοῦντες οὐδὲν, οὐδὲ ἑαυτοὺς εἰς πᾶσαν ὑπουργίαν ἐμβάλλοντες· ἀλλ' ἐκεῖνος ἐνταῦθα συνεχὴς καὶ ἐνδελεχὴς καὶ ἄτρυτος, οὐ διδοὺς ἑτέρῳ τόπον οὐδὲ χώραν διακονίας, ἀλλὰ βουλόμενος κελεύεσθαι, κἂν μὴ κελευσθῇ, δυσχεραίνων, μᾶλλον δὲ ὅλως ἐξαθυμῶν καὶ ποτνιώμενος.

κβ'. Ἔστι μὲν οὖν καὶ ταῦτα δηλώματα τοῖς νοῦν ἔχουσιν,
οὐκ ἀληθινῆς φιλίας οὐδὲ σώφρονος, ἀλλ' ἑταιρούσης καὶ περι-
πλεκομένης ἑτοιμότερον τῶν δεομένων. Οὐ μὴν ἀλλὰ δεῖ πρῶ- 2
τον ἐν ταῖς ἐπαγγελίαις σκοπεῖν τὴν διαφοράν· Εὖ γὰρ εἴρηται 3
καὶ τοῖς πρὸ ἡμῶν, φίλου μὲν ἐκείνην εἶναι τὴν ἐπαγγελίαν,

Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί,

Κόλακος δὲ ταύτην,

Αὔδα, ὅ,τι φρονέεις. —

καὶ γὰρ οἱ κωμικοὶ, τοιούτους εἰσάγουσιν,

Ἐμὲ, Νικόμαχε, πρὸς τὸν στρατιώτην τάξατε,
Ἂν μὴ ποιήσω πέπονα μαστίγων ὅλον,

---

10. Ἐκβάσεις) Ἡ σημασία τῆς λέξεως ταύτης ἀποβάσ. δὲν ἁρμόζει ἐνταῦθα. Ὅθεν γραπτέον ἐνστάσεις· ἡ δὲ λέξις αὕτη εἶνε μᾶλλον Ἰατροῖς ἰδία, καὶ τῷ Πλουτάρχῳ ἐκ μεταφορᾶς.

κά. 2. Ὁ γὰρ τοῦ φίλου τρόπος — κατ' Εὐριπίδην) Αὕτη εἶνε ἡ καλλίστη γνώμη τοῦ Εὐριπίδου, ἐν Φοινίσσαις 472.

«Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
Κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων,
Ἔχει γὰρ αὐτὰ καιρόν· ὁ δ' ἄδικος λόγος,
Νοσῶν ἐν αὑτῷ, φαρμάκων δεῖται σοφῶν.»

κβ'. 3. Εἰ δύναμαι τελέσαι γε —) Ἰλιάδ. Ξ. 195. Σ. 426. καὶ Ὀδύσσ. Ε'. 89. ὅπου ἀμφότεροι οἱ στίχοι ὑπὸ τοῦ αὐτοῦ προσώπου λέγονται, μὲ τῷ προτέρῳ δὲ συμφωνεῖ καὶ τὸ Εὐριπίδειον, Ἴων 1020. «Σὸν λέγειν, τὸ μᾶν δ' ἐμόν.» — Ἐμὲ, Νικόμαχε,) Ἐκ τῆς Μενάν-

Ἂν μὴ ποιήτω σπογγιᾶς μαλακώτερον
Τὸ πρόσωπον.

4 Ἔπειτα τῶν μὲν φίλων οὐδεὶς γίνεται συνεργὸς, εἰ μὴ γένη-
ται σύμβουλος πρότερον, ἀλλ᾽ ὅταν δοκιμάσῃ καὶ συγκαταστή-
σῃ τὴν πρᾶξιν, ἢ τὸ πρέπον ἢ τὸ συμφέρον· ὁ δὲ κόλαξ, κἂν
ἀποδῷ τις αὐτῷ τὸ συνδοκιμάσαι καὶ συναποφήνασθαι περὶ τοῦ
πράγματος, οὐ μόνον ὑπείκειν καὶ χαρίζεσθαι βουλόμενος, ἀλ-
λὰ καὶ δεδιὼς ὑποψίαν ὀκνοῦντος παρέχειν καὶ φεύγοντος τὸ
5 ἔργον, ἐνδίδωσι καὶ συνεξορμᾷ τῇ ἐπιθυμίᾳ. Οὐδεὶς γάρ ἐστι
ῥᾳδίως πλούσιος οὐδὲ βασιλεὺς, οἷος εἰπεῖν,

Ἐμοὶ γὰρ εἴη πτωχὸς, εἰ δὲ βούλεται,
Πτωχοῦ κακίων, ὅςτις ὢν εὔνους ἐμοὶ,
Φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ.

Ἀλλ᾽ ὥσπερ οἱ τραγῳδοὶ χοροῦ δέονται φίλων συνᾳδόντων, ἢ
6 θεάτρου συνεπικροτοῦντος. Ὅθεν ἡ μὲν τραγικὴ Μερόπη παραινεῖ,

Φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
Κέκτησο, τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
Τῇ σῇ πονηροὺς κλεῖθρον εἰργέτω στέγης.

7 Οἱ δὲ τοὐναντίον δρῶσι· τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις, ἀλλ᾽
ἀντιβαίνοντας ὑπὲρ τοῦ συμφέροντος, ἀφοσιοῦνται· τοὺς δὲ πρὸς
χάριν, πονηροὺς καὶ ἀνελευθέρους καὶ γόητας, οὐ μόνον κλείθρων
καὶ στέγης ἐντὸς, ἀλλὰ καὶ παθῶν καὶ πραγμάτων ἀποῤῥή-
8 των λαμβάνουσιν. Ὧν ὁ μὲν ἁπλούστερος οὐκ οἴεται δεῖν, οὐδ᾽
ἀξιοῖ σύμβουλος εἶναι πραγμάτων τηλικούτων, ἀλλ᾽ ὑπουργὸς
καὶ διάκονος· ὁ δὲ πανουργότερος, ἔστι μὲν ἐν τῷ συνδιαπορεῖν
καὶ τὰς ὀφρῦς συνέχειν, καὶ συνδιανεύειν τῷ προσώπῳ, λέγει
δὲ οὐδέν· ἂν δ᾽ ἐκεῖνος εἴπῃ τὸ φαινόμενον, Ὦ Ἡράκλεις, ἔ-
φθης με, φησὶ, μικρὸν εἰπὼν, ἐγὼ γὰρ αὐτὸ τοῦτο λέγειν ἔμελ-
9 λον. Ὡς γὰρ οἱ μαθηματικοὶ τὰς ἐπιφανείας καὶ τὰς γραμμὰς
λέγουσι μήτε κάμπτεσθαι, μήτε διατείνεσθαι, μήτε κινεῖσθαι
καθ᾽ ἑαυτὰς, νοητὰς καὶ ἀσωμάτους οὔσας, συγκάμπτεσθαι δὲ
καὶ συνδιατείνεσθαι καὶ συμμεθίστασθαι τοῖς σώμασιν, ὧν πέ-
ρατά εἰσιν· οὕτω τὸν κόλακα φωράσεις, ἀεὶ συνεπιφάσκοντα,
καὶ συνεπιφαινόμενον, καὶ συναισθανόμενον, καὶ συνοργιζόμενον·

---

δρου κωμῳδίας Κόλαξ, ἐπιγραφομένης, εἶνε ἀναμφιβόλως οἱ στίχοι οὗτοι, πέπων δὲ δηλοῖ μαλακόν· ἄλλοτε δὲ εὑρίσκεται μετὰ τοῦ σικύος.»

4. Συγκαταστήσῃ τὴν πρᾶξιν ἢ τὸ πρέπον) διόρθου γράφων, εἰς τὸ πρέπον.

5. Ἐμοὶ γὰρ εἴη πτωχὸς) Εὐριπίδειος ὁ στίχος, ἀλλ᾽ ἐξ ἀγνώστου τραγῳδίας.

9. Οἱ μαθηματικοὶ τὰς ἐπιφανείας) Τὴν αὐτὴν ὁμοίωσιν μεταχειρίζεται καὶ ἐν τῇ διατριβῇ πρὸς σύζυγον. «Δεῖ δὲ, ὥσπερ οἱ γεωμέτραι λέγουσι τὰς γραμμὰς καὶ τὰς ἐπιφανείας οὐ κινεῖσθαι καθ᾽ ἑαυτὰς, ἀλλὰ συγκινεῖσθαι τοῖς σώμασιν, οὕτω τὴν γυναῖκα μηδὲν ἴδιον πάθος ἔχειν, ἀλλὰ κοινωνεῖν τῷ ἀνδρὶ καὶ σπουδῆς, καὶ παιδιᾶς, καὶ συνουσίας, καὶ γέλωτος.»

ὥστε παντελῶς ἔν γε τούτοις εὐφώρατον εἶναι τὴν διαφοράν. Ἔτι δὲ μᾶλλον ἐν τῷ τρόπῳ τῆς ὑπουργίας. Ἡ μὲν γὰρ παρὰ 10
τοῦ φίλου χάρις, ὥσπερ ζῷον ἐν βάθει τὰς κυριωτάτας ἔχει δυνάμεις, ἐπιδεικτικὸν δὲ καὶ πανηγυρικὸν οὐδὲν ἔπεστιν· ἀλλὰ πολλάκις ὥσπερ ἰατρὸς λαθὼν ἐθεράπευσε, καὶ φίλος ὠφέλησεν ἐντυχών, ἢ διαλυσάμενος, ἀγνοοῦντος ἐπιμεληθείς. Τοιοῦτος Ἀρ- 11
κεσίλαος περί τε τὰ ἄλλα, καὶ νοσοῦντος Ἀπελλοῦ τοῦ Χίου τὴν πενίαν καταμαθών, ἐπανῆλθεν μὲν αὖθις ἔχων εἴκοσι δραχμάς, καὶ καθίσας πλησίον, ἐνταῦθα μέν, εἶπεν, οὐδέν, ἢ τὰ Ἐμπεδοκλέους στοιχεῖα ταυτί,

Πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθέρος ἤπιον ὕψος.

ἀλλ' οὐδὲ κατάκεισαι σὺ δεξιῶς· ἅμα δὲ διακινῶν τὸ προσκεφάλαιον αὐτοῦ, λαθὼν ὑπέβαλε τὸ κερμάτιον. Ὡς οὖν ἡ δια- 12
κονοῦσα πρεσβῦτις εὗρε, καὶ θαυμάσασα τῷ Ἀπελλῇ προσήγγειλε, γελάσας ἐκεῖνος, Ἀρκεσιλάου, εἶπε, τουτὶ τὸ κλέμμα. Καὶ μὴν ἐοικότα γε τέκνα φύεται γονεῦσιν ἐν φιλοσοφίᾳ. Λα- 13
κύδης γοῦν ὁ Ἀρκεσιλάου γνώριμος ἀπ' εἰσαγγελίας φεύγοντι δίκην Κηφισοκράτει μετὰ τῶν ἄλλων φίλων παρειστήκει· τοῦ δὲ κατηγόρου τὸν δακτύλιον αἰτήσαντος, ὁ μὲν ἡσυχῇ παρακαθῆκεν, αἰσθόμενος δὲ ὁ Λακύδης ἐπέβη τῷ ποδί, καὶ ἐπέκρυψεν· ἦν δὲ ὁ ἔλεγχος ἐν ἐκείνῳ· μετὰ δὲ τὴν ἀπόφευξιν, τοῦ Κηφισοκράτους δεξιουμένου τοὺς δικαστάς, εἷς τις, ὡς ἔοικεν, ἑωρακὼς τὸ γενόμενον, ἐκέλευσε Λακύδῃ χάριν ἔχειν, καὶ τὸ πρᾶγμα διηγήσατο, τοῦ Λακύδου πρὸς μηδένα φράσαντος. Οὕτως οἶμαι καὶ τοὺς θεοὺς εὐεργετεῖν τὰ πολλὰ λανθάνοντας, 14

---

10. Ὥσπερ ζῷον ἐν βάθει) Δύναται δὲ καὶ ᾠὸν νὰ γράφηται ἀντὶ ζῷον· τοῦτο δὲ προῆλθεν ἀπὸ τὴν πρὸς τὸ ζῷον καὶ ᾠὸν ὁμοίωσιν τῆς φιλοσοφίας ὑπὸ τῶν Στωϊκῶν· Ἴδε Διογ. Λαέρτ. Ζ, 40. Ὁ δὲ Σέξτος ἐμπειρικὸς λέγει «Οἱ δὲ ᾠῷ φασιν αὐτὴν εἶναι παραπλήσιον. Ἐῴκει γὰρ τῇ μὲν λεκίθῳ, ἥν τινες νεοττὸν ὑπάρχειν λέγουσι, τὰ ἠθικά· τῷ δὲ λευκῷ, ὃ δὴ τροφή ἐστι τῆς λεκίθου, τὰ φυσικά· τῷ δ' ἔξωθεν ὀστρακώδει τὰ λογικά» ὁ δὲ Ποσειδώνιος —ζώῳ μᾶλλον εἰκάζειν ἠξίου τὴν φιλοσοφίαν, αἵματι μὲν καὶ σαρξὶ τὸ φυσικόν, ὀστέοις δὲ καὶ νεύροις τὸ λογικόν, ψυχῇ δὲ τὸ ἠθικόν.»

11. Τοιοῦτος Ἀρκεσίλαος — κλέμμα) Ταῦτα δὲ λέγει ὁ Λαέρτιος ἐν τῷ αὐτοῦ βίῳ Δ'. 37. «Καὶ εὐεργετῆσαι πρόχειρος ἦν, καὶ λαθεῖν τὴν χάριν ἀτυφότατος. Εἰσελθὼν οὖν ποτε πρὸς Κτησίβιον νοσοῦντα, καὶ ἰδὼν ἀπορίᾳ θλιβόμενον, κρύφα βαλάντιον ὑπέθηκε τῷ προσκεφαλαίῳ· καὶ ὃς εὑρών, Ἀρκεσιλάου, φησί, τὸ παίγνιον.» ὁ δὲ στίχος, πῦρ . . . . εἶνε τοῦ Ἐμπεδοκλέους.

13. Ἐοικότα γε τέκνα φύεται γονεῦσιν ἐν φιλοσοφίᾳ) Κατὰ τὸν Ἡσιόδου στίχον ἔργ. κ. Ἡμ. 235. ὅπου μεταξὺ τῶν εἰς τοὺς δικαίους περὶ τῶν θεῶν διδομένων ἀγαθῶν συγκαταλέγει καὶ τοῦτο·

«Τίκτουσι δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσι.»

τὸ δὲ ἐναντίον ἦτο κατάρα Αἰσχίνου κατὰ Κτησιφ. «ἐπεύχεται αὐτοῖς μηδὲ γῆν καρποὺς φέρειν, μήτε γυναῖκας τέκνα τίκτειν γονεῦσιν ἐοικότα, ἀλλὰ τέρατα.» Ἴδε Θεόκριτ. ιζ'. 44.

— Λακύδης — φράσαντος) Διάδοχος τοῦ Ἀρκεσιλάου ὁ Λακύδης. Ἴδε δὲ περὶ τούτου Διογ. Λαέρτ. Δ, 59—61. ἀλλ' οὐδέν, οὔτε οὗτος, οὔτε ἄλλος λέγει περὶ τοῦ Κηφισοκράτους τούτου.

αὐτῷ τῷ χαρίζεσθαι, καὶ εὖ ποιεῖν, φύσιν ἔχοντας ἥδεσθαι.
15Τοῦ δὲ τοῦ κόλακος ἔργον οὐδὲν ἔχει δίκαιον, οὐδ' ἀληθινόν, οὐδ'
ἁπλοῦν, οὐδ' ἐλευθέριον· ἀλλ' ἱδρῶτα, καὶ διαδρομήν, καὶ κραυ-
γήν, καὶ σύντασιν προσώπου, ποιοῦσαν ἔμφασιν καὶ δόκησιν
ἐπιπόνου χρείας καὶ κατεσπευσμένης, ὥσπερ ζωγράφημα περί-
εργον ἀναιδέσι φαρμάκοις καὶ κεκλασμέναις στολίσι καὶ ῥυτίσι
16καὶ γωνίαις, ἐναργείας φαντασίαν ἐπαγόμενον. Ἔστι δὲ καὶ δι-
ηγούμενος ἐπαχθής, ὡς ἔπραξε πλάνας τινὰς ὑπὲρ αὐτοῦ καὶ
φροντίδας, εἶτα ἀπεχθείας πρὸς ἑτέρους, εἶτα πράγματα μυρία
καὶ πάθη μεγάλα διεξιών, ὥστ' εἰπεῖν, Οὐκ ἄξια ταῦτα ἐκείνων.
17Πᾶσα μὲν γὰρ ὀνειδιζομένη χάρις ἐπαχθὴς καὶ ἄχαρις καὶ οὐκ
ἀνεκτή· ταῖς δὲ τῶν κολάκων οὐχ' ὕστερον, ἀλλὰ πραττομέναις
18ἔνεστιν εὐθὺς τὸ ἐπονείδιστον καὶ δυσωποῦν. Ὁ δὲ φίλος, κἂν
εἰπεῖν δεήσῃ τὸ πρᾶγμα, μετρίως ἀπήγγειλε, περὶ αὐτοῦ δὲ εἶπεν
29οὐδέν. Ὃ δὴ καὶ Λακεδαιμόνιοι Σμυρναίοις δεομένοις σῖτον πέμ-
ψαντες, ὡς ἐθαύμαζον ἐκεῖνοι τὴν χάριν, Οὐδέν, ἔφασαν, μέγα·
μίαν γὰρ ἡμέραν ψηφισάμενοι τὸ ἄριστον ἀφελεῖν ἑαυτῶν καὶ
20τῶν ὑποζυγίων, ταῦτα ἠθροίσαμεν. Οὐ γὰρ μόνον ἐλευθέριος ἡ
τοιαύτη χάρις, ἀλλὰ καὶ τοῖς λαμβάνουσιν ἡδίων, ὅτι τοὺς ὠφε-
λοῦντας οὐ μεγάλα βλάπτεσθαι νομίζουσιν.

κγ'. Οὐ τοίνυν μάλιστα τῷ περὶ τὰς ὑπουργίας ἐπαχθεῖ τοῦ
κόλακος, οὐδὲ τῇ περὶ τὰς ἐπαγγελίας εὐχερείᾳ γνοίη τις ἂν τὴν
φύσιν, ἀλλὰ μᾶλλον ἐν τῷ καλῷ τῆς χρείας, ἢ αἰσχρῷ, καὶ
2 διαφέροντι πρὸς ἡδονὴν ἢ ὠφέλειαν. Ὁ μὲν γὰρ φίλος οὐχ, ὥσπερ
ἀπεφαίνετο Γοργίας, αὐτῷ μὲν ἀξιώσει τὰ δίκαια τὸν φίλον ὑ-
πουργεῖν, ἐκείνῳ δ' αὐτὸς ὑπηρετήσει πολλὰ καὶ τῶν μὴ δικαίων.
3 Συσσωφρονεῖν γάρ, οὐχὶ συννοσεῖν ἔφυ.
Μᾶλλον οὖν ἐκεῖνον ἀποστρέψει τῶν μὴ προσηκόντων· ἂν δὲ μὴ
πείθῃ, καλὸν τὸ Φωκίωνος πρὸς Ἀντίπατρον, Οὐ δύνασαί μοι

---

16. Ἔπραξε πλάνας.... ἀπεχθείας.) Πλατωνίζει ἤδη ὁ λόγος. Ἀπολογ. Σωκρ. «Δεῖ δὴ ὑμῖν τὴν ἐμὴν πλάνην ἐπιδεῖξαι, ὥσπερ πόνους τινὰς πονοῦντος.» καὶ αὐτόθι παρακατιόν. «Ἐκ ταύτης ἤδη τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαὶ μὲν ἀπέχθειαί μοι γεγόνασι, καὶ οἷαι χαλεπώταται καὶ βαρύταται.»

19. Λακεδαιμόνιοι Σμυρναίοις δεομένοις σῖτον πέμψαντες) Εἰς τὸ Οἰκονομικῶν β'. βιβλίον, κεφ. Ϛ'. τοῦ Ἀριστοτέλους ἀναγινώσκονται τὰ ἑξῆς « Λακεδαιμόνιοι, Σαμίων δεηθέντων χρήματα αὐτοῖς εἰς τὴν κάθοδον δοῦναι, ἐψηφίσαντο μίαν ἡμέραν καὶ αὐτοὺς καὶ τοὺς οἰκέτας καὶ τὰ ὑποζύγια νηστεῦσαι· ὅσον δὲ ἐδαπάνα ἕκαστος, τοσοῦτον δοῦναι τοῖς Σαμίοις.» Ἴδε καὶ Αἰλ. Π. ἱστορ. Ε, 20. Τὸ δὲ Σάμιοι καὶ Σμυρναῖοι συγχέονται ὑπὸ τῶν ἀντιγραφέων.

κγ'. 3. Συσσωφρονεῖν) Εὐριπίδειον τὸ ῥητὸν τοῦτο ἐξελέγχεται ἐκ τοῦ εἴδους· ὁμοιότατον δὲ τούτῳ ἀναγινώσκεται ἐν Ἰφιγ. ἐν Αὐλίδ. 407. «Συσσωφρονεῖν σοι βούλομ', ἀλλ' οὐ συννοσεῖν.» Τῆς αὐτῆς δὲ ἐννοίας ἔχεται καὶ τὸ ἀποδιδόμενον τοῦτο εἰς τὸν Ἀλκαῖον. «Σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει, Σύν μοι μαινομένῳ μαίνεο, Συσσωφρονήσω σώφρονι.»

ΙΩΑΝΝΙΝΑ 2006

καὶ φίλῳ χρῆσθαι καὶ κόλακι, τουτέστι καὶ φίλῳ καὶ μὴ φίλῳ.
Συνεργεῖν γὰρ δεῖ τῷ φίλῳ, μὴ συμπανουργεῖν· καὶ συμβου- 4
λεύειν, μὴ συνεπιβουλεύειν· καὶ συμμαρτυρεῖν, μὴ συνεξαπατᾷν·
καὶ συνατυχεῖν νὴ Δία, μὴ συναδικεῖν. Οὐδὲ γὰρ τὸ συνειδέ- 5
ναι τοῖς φίλοις τὰ αἰσχρά, πόθεν γε δὴ τὸ συμπράττειν καὶ
συνασχημονεῖν αἱρετόν ἐστιν; Ὥσπερ οὖν Λακεδαιμόνιοι μάχῃ 6
κρατηθέντες ὑπ' Ἀντιπάτρου, καὶ ποιούμενοι διαλύσεις, ἠξίουν
ὅ,τι βούλεται ζημιῶδες, αἰσχρὸν δὲ μηδὲν ἐπιττάτειν αὐτοῖς·
οὕτως ὁ φίλος καὶ τοιοῦτος. Ἂν μέν τις ἢ δαπάνην ἢ κίνδυνον 7
ἢ πόνον ἔχουσα χρεία καταλαμβάνῃ, πρῶτος ἀξιῶν καλεῖσθαι
καὶ μετέχειν ἀπροφασίστως καὶ προθύμως· ὅπου δὲ πρόσεστιν
αἰσχύνη μόνον, ἐᾶν καὶ φείδεσθαι παραιτούμενος. Ἀλλ' ἥ γε 8
κολακεία τοὐναντίον, ἐν μὲν ταῖς ἐπιπόνοις καὶ κινδυνώδεσιν ὑ-
πουργίαις ἀπαγορεύει· κἂν διαπειρώμενος κρούσῃς, σαθρὸν ἔκ
τινος προφάσεως ὑπηχεῖ καὶ ἀγεννές· ἐν δὲ ταῖς αἰσχραῖς καὶ
ταπειναῖς καὶ ἀδόξοις διακονίαις ἀπόχρησαι, πάτησον· οὐδὲν
ἡγεῖται δεινόν, οὐδὲ ὑβριστικόν. Ὁρᾷς τὸν πίθηκον; οὐ δύναται 9
τὴν οἰκίαν φυλάττειν, ὡς ὁ κύων, οὐδὲ βαστάζειν, ὡς ὁ ἵππος,
οὐδὲ ἀροῦν τὴν γῆν, ὡς οἱ βόες· ὕβριν οὖν φέρει καὶ βωμολοχίαν,
καὶ παιδιὰς ἀνέχεται, γέλωτος ὄργανον ἐμπαρέχων ἑαυτόν. Οὕτω 10
δὴ καὶ ὁ κόλαξ, οὐ συνειπεῖν, οὐ συνεισενεγκεῖν, οὐ συναγωνίσασθαι
δυνάμενος, πόνου δὲ καὶ σπουδῆς ἁπάσης ἀπολειπόμενος, ἐν
ταῖς ὑπὸ μάλης πράξεσιν ἀπροφάσιστός ἐστι καὶ πιστὸς ἔρωτος
ὑπηρέτης, καὶ περὶ λύσιν πόρνης ἀκριβής, καὶ πότου δαπάνης
ἐκκαθᾶραι λογισμὸν οὐκ ἀμελής, οὐδὲ ῥᾴθυμος ἐν δείπνων πα-
ρασκευαῖς, θεραπευτικὸς δὲ παλλακίδων· πρὸς δὲ κηδεστὰς ἀπο-
θρασύνεσθαι κελευσθείς, καὶ συνεκβαλεῖν γαμετήν, ἄτεγκτος καὶ
ἀδυσώπητος. Ὥστε μηδὲ ταύτῃ δυσφώρατον εἶναι τὸν ἄνδρα.
Προσταττόμενος γάρ, ὅ,τι βούλει τῶν ἀδόξων καὶ μὴ καλῶν, ἕ- 11
τοιμος ἀφειδεῖν ἑαυτοῦ, τῷ προστάττοντι χαριζόμενος.

---

6. *Λακεδαιμόνιοι μάχῃ κρατηθέντες ὑπ' Ἀντιπάτρου*) Ἐν Ἀρκαδίᾳ, ὅτε ἔπεσε καὶ ὁ βασιλεὺς αὐτῶν Ἄγις. Ἴδε Διόδ. Σικελ. ιζ΄. 65 καὶ 73. Ἰουστιν. ιβ΄. ι.

7. *Ἂν — χρεία καταλαμβάνῃ*) Λέγεται οὕτω τὸ ῥῆμα ἐπὶ κακῶν αἴφνης προσπιπτόντων.

8. *Κἂν διαπειρώμενος κρούσῃς, σαθρὸν — ὑπηχεῖ —*) Πλατωνικόν. Ἐν Θεαιτήτ· «σκεπτέον τὴν φερομένην ταύτην οὐσίαν διακρούοντα, εἴτε ὑγιὲς εἴτε σαθρὸν φθέγγεται.» Ὁ δὲ Τίμαιος ἐξηγεῖ. «Διακρούοντα· Ἐκ μεταφορᾶς τῶν διακωδωνούντων τὰ κεράμια, εἰ ἀκέραιά εἰσιν.»

10. *Ἐν ταῖς ὑπὸ μάλης πράξεσιν*) Ὑπὸ μάλης ποιεῖν, γίνεσθαι, φέρειν τι, κ. τ. λ. δηλοῖ κρύφα.

— *Περὶ λύσιν πόρνης ἀκριβής*) Λύω δηλοῖ ἐξαγοράζω. Ἴδε Πλουτάρχ. βίον Φωκίων. ἐν τέλει.

— *Ἐκκαθᾶραι λογισμὸν*) Δείπνου ἔξοδα νὰ καταγράφῃ καὶ διατάξῃ. Καὶ Βασίλειος ὁ Μ. Περὶ Πλούτου καὶ ... εν. «οἱ δανειζόμενοι, τόκους ἐκ τόκων, καὶ πρὶν ἐκκαθᾶραι τὰ πρῶτα δεύτερον ἐπεισάγοντες δάνεισμα, μικρὸν χρόνον τοῖς ἀλλοτρίοις ἐναβρυνόμενοι, ὕστερον καὶ τὰ οἰκεῖα ὠδύραντο.»

κδ'. Οὐχ ἥκιστα δ' ἄν τις αὐτὸν ἐν τῇ πρὸς ἄλλους φίλους
2 διαθέσει καταμάθοι πολὺ τοῦ φίλου διαφέροντα. Τῷ μὲν γὰρ
ἥδιστόν ἐστι μετὰ πολλῶν φιλεῖν καὶ φιλεῖσθαι, καὶ τοῦτο πράτ-
των ἀεὶ διατελεῖ περὶ τὸν φίλον, ὅπως πολύφιλος καὶ πολυτίμη-
τος ἔσται· κοινὰ γὰρ τὰ φίλων ἡγούμενος, οὐδὲν οὕτως οἴεται
δεῖν κοινὸν ὡς τοὺς φίλους ὑπάρχειν· ὁ δὲ ψευδὴς καὶ νόθος καὶ
ὑπόχαλκος, ἅτε δὴ μάλιστα γινώσκων ἑαυτὸν ἀδικοῦντα τὴν φι-
λίαν, ὥσπερ νόμισμα παράσημον ὑπ' αὐτοῦ γενομένην, ἔστι
μὲν καὶ φύσει φθονερὸς, ἀλλὰ τῷ φθόνῳ χρῆται πρὸς τοὺς ὁμοί-
ους, διαμιλλώμενος ὑπερβάλλεσθαι βωμολοχίᾳ καὶ σπερμολο-
γίᾳ, τὸν δὲ κρείττονα τρέμει καὶ δέδοικεν, οὐ μὰ Δία παρὰ Λύ-
διον ἅρμα πεζὸς ἰχνεύων, ἀλλὰ παρὰ χρυσὸν ἑφθὸν, ὥς φησι
3 Σιμωνίδης, ἀκήρατον οὐδὲ μόλυβδον ἔχων. Ὅταν οὖν ἐλαφρὸς
ὢν, καὶ ἐπίκτητος, καὶ ἀπατηλὸς, ἐγγύθεν ἀντεξετάζηται πρὸς
ἀληθινὴν καὶ ἐμβριθῆ φιλίαν καὶ σφυρήλατον, οὐκ ἀναφέρων,
ἀλλ' ἐξελεγχόμενος, ταὐτὸ ποιεῖ τῷ ζωγραφήσαντι τοὺς ἀλεκ-
τρυόνας ἀθλίως· ἐκεῖνός τε γὰρ ἐκέλευσε τὸν παῖδα τοὺς ἀ-
ληθινοὺς ἀλεκτρυόνας ἀποσοβεῖν ἀπωτάτω τοῦ πίνακος· οὗτος
δὲ τοὺς ἀληθινοὺς ἀποσοβεῖ φίλους, καὶ οὐκ ἐᾷ πλησιάζειν· ἂν
δὲ μὴ δύνηται, φανερῶς μὲν ὑποσαίνει, καὶ περιέπει, καὶ τέ-
θηπεν ὡς ἀμείνονας, λάθρα δ' ὑφίησί τινας καὶ ὑποσπείρει δια-
4 βολάς. Κρυφίου δὲ λόγου κνίσαντος ἕλκος, κἂν μὴ παντελῶς
5 εὐθὺς ἐξεργάσηται, τὸ τοῦ Μηδίου φυλάττει μεμνημένος. Ἦν
δὲ ὁ Μήδιος τοῦ περὶ τὸν Ἀλέξανδρον χοροῦ τῶν κολάκων οἷον
ἔξαρχος, καὶ σοφιστὴς κορυφαῖος ἐπὶ τοὺς ἀρίστους συντεταγ-
μένος· ἐκέλευεν οὖν θαῤῥοῦντας ἅπτεσθαι καὶ δάκνειν ταῖς δια-
βολαῖς, διδάσκων, ὅτι, κἂν θεραπεύσῃ τὸ ἕλκος ὁ δεδηγμένος,
6 ἡ οὐλὴ μένει τῆς διαβολῆς. Ταύταις μέντοι ταῖς οὐλαῖς, μᾶλ-
λον δὲ γαγραίναις καὶ καρκινώμασι διαβρωθεὶς Ἀλέξανδρος,
ἀπώλεσε καὶ Καλλισθένη, καὶ Παρμενίωνα, καὶ Φιλώταν. Ἄγνω-
σι δὲ καὶ Βαγώαις καὶ Ἀγησίαις καὶ Δημητρίοις ἀφειδῶς ἐνέδω-
κεν ἑαυτὸν ὑποσκελίζεσθαι, προσκυνούμενον καὶ καταστολιζόμε-
νον καὶ ἀναπλαττόμενον ὑπ' αὐτῶν, ὥσπερ ἄγαλμα βαρβαρικόν.

---

κδ'. 2. Παρὰ Λύδιον — μόλυβδον ἔχων.) Δύο ῥητὰ εἶνε ἐνταῦθα· τὸ πρότερον «παρὰ Λύδιον ἅρμα πεζὸς ἰχνεύων.» Πινδάρου ὄν, μνημονεύεται ὑπὸ τοῦ Πλουτάρχου ἐν β Νικίου· κατήντησε δὲ παροιμιῶδες· τὸ δὲ ἕτερον «παρὰ χρυσὸν ἑφθὸν ἀκήρατον οὐδὲ μόλυβδον ἔχων·» ἀποδιδόμενον εἰς τὸν Σιμωνίδην, ἴσως ἀλλοῦ δὲν εὑρίσκεται.

3. Ἐλαφρὸς ὢν καὶ ἐπίκτητος καὶ ἀπατηλὸς — πρὸς ἀληθινὴν καὶ ἐμβριθῆ φιλίαν καὶ σφυρήλατον οὐκ ἀναφέρων) Ἀντιθέτονται ἐνταῦθα ἐλαφρὸς καὶ ἐμβριθὴς, ἀπατηλὸς καὶ ἀληθινὸς, ἐπίκτητος καὶ σφυρήλατος. Ἀλλὰ τῶν τελευταίων ὁ λόγος τῆς ἀντιθέσεως δὲν εἶνε καταφανής.

7 Οὕτως μεγάλην ἔχει τὸ πρὸς χάριν δύναμιν, καὶ μεγίστην, ὡς
8 ἔοικεν, ἐν τοῖς μεγίστοις εἶναι δοκοῦσι. Τὸ γὰρ οἴεσθαι τὰ κάλλι-
στα μετὰ τοῦ βούλεσθαι, πίστιν ἅμα τῷ κόλακι καὶ θράσος
9 δίδωσι. Τῶν μὲν γὰρ τόπων τὰ ὑψηλὰ δυσπρόσοδα καὶ δυσέ-
φικτα γίνεται τοῖς ἐπιβουλεύουσι· τὸ δ' ἐν ψυχῇ νοῦν οὐκ ἐχούσῃ
δι' εὐτυχίαν ἢ δι' εὐφυΐαν ὕψος καὶ φρόνημα τοῖς μικροῖς καὶ τα-
πεινοῖς μάλιστα βάσιμόν ἐστι.

κέ. Ὅθεν ἀρχόμενοί τε τοῦ λόγου παρεκελευσάμεθα, καὶ νῦν
παρακελευόμεθα τὸ φίλαυτον ἐκκόπτειν ἑαυτῶν καὶ τὴν οἴησιν·
αὕτη γὰρ ἡμᾶς προκολακεύουσα, μαλακωτέρους ποιεῖ τοῖς θυ-
2 ραίοις κόλαξιν, ὡς ἑτοίμους ὄντας. Ἂν δὲ πειθόμενοι τῷ θεῷ,
καὶ τὸ Γνῶθι σαυτὸν, ὡς ἑκάστῳ τοῦ παντὸς ἄξιόν ἐστι, μα-
θόντες, ἅμα καὶ φύσιν καὶ τροφὴν καὶ παίδευσιν ἑαυτῶν ἀνα-
θεωρῶμεν, ἐλλείματα μυρία τοῦ καλοῦ καὶ πολὺ τὸ φαύλως
καὶ εἰκῆ συμμεμιγμένον ἔχουσαν ἐν πράξεσιν, ἐν λόγοις, ἐν
πάθεσιν, οὐ πάνυ ῥᾳδίως ἐμπεριπατεῖν τοῖς κόλαξιν ἑαυτοὺς
3 παρέξομεν. Ἀλέξανδρος μὲν γὰρ ἀπιστεῖν ἔφη τοῖς θεὸν αὐτὸν
ἀναγορεύουσιν, ἐν τῷ καθεύδειν μάλιστα καὶ ἀφροδισιάζειν,
ὡς ἀγεννέστερος περὶ ταῦτα καὶ παθητικώτερος αὐτοῦ γινόμε-
4 νος. Ἡμεῖς δὲ πολλὰ πολλαχοῦ τῶν ἰδίων αἰσχρὰ, καὶ λυ-
πηρὰ, καὶ ἀτελῆ, καὶ ἡμαρτημένα καθορῶντες ἀεὶ, φωράσομεν
ἑαυτοὺς οὐκ ἐπαινοῦντος φίλου καὶ κατευλογοῦντος δεομένους,
ἀλλ' ἐλέγχοντος καὶ παῤῥησιαζομένου καὶ ψέγοντος ἡμᾶς ἰδίᾳ
5 κακῶς πράττοντας. Ὀλίγοι μὲν γὰρ ἐκ πολλῶν εἰσιν οἱ παῤ-
ῥησιάζεσθαι μᾶλλον ἢ χαρίζεσθαι τοῖς φίλοις τολμῶντες· ἐν δὲ
τοῖς ὀλίγοις αὖθις οὐ ῥᾳδίως ἂν εὕροις ἐπισταμένους τοῦτο
ποιεῖν, ἀλλ' οἰομένους, ἂν λοιδορῶσι καὶ ψέγωσι, παῤῥησίᾳ
6 χρῆσθαι. Καί τοι καθάπερ ἄλλῳ τινὶ φαρμάκῳ, καὶ τῷ παῤῥη-
σιάζεσθαι μὴ τυχόντι καιροῦ, τὸ λυπεῖν ἀχρήστως καὶ ταράτ-
τειν περίεστι, καὶ ποιεῖν τόπον τινὰ μετ' ἀλγηδόνος, ὃ ποιεῖ
7 μεθ' ἡδονῆς τὸ κολακεύειν. Βλάπτονται γὰρ οὐκ ἐπαινούμενοι
μόνον ἀκαίρως, ἀλλὰ καὶ ψεγόμενοι· καὶ τοῦτο μάλιστα τοῖς
κόλαξιν εὐλήπτους καὶ πλαγίους παραδίδωσιν, ἀπὸ τῶν σφό-
δρα προσαντῶν καὶ ἀντιτύπων ὥσπερ ἐπὶ τὰ κοῖλα καὶ μα-
8 λακὰ δίκην ὕδατος ἀπολισθαίνοντας. Διὸ δεῖ τὴν παῤῥη-

κέ. 2. Τὸ γνῶθι σαυτὸν, ὡς ἑκάστῳ τοῦ παντὸς ἄξιόν ἐστι) Τὸ ἄξιον παντὸς εἶναι παροιμιῶδες Ζηνόβ. Β΄. 2. Ξενοφ. Οἰκονομ. Ζ΄, 41.

3. Ἀλέξανδρος) Πλούταρχ. Συμποσ. Η΄. σελ. 717, «καὶ Ἀλέξανδρον ὑπενόησεν, εἰπὼν μάλιστα θνητὸν καὶ φθαρτὸν ἐπιγινώσκειν ἑαυτὸν ἐν τῷ συγγενέσθαι γυναιξὶ καὶ καθεύδειν.»



ΙΩΑΝΝΙΝΑ 2006

σίαν ἤθει κεκρᾶσθαι, καὶ λόγον ἔχειν, ἀφαιροῦντα τὸ ἄγαν καὶ τὸ ἄκρατον αὐτῆς ὥσπερ φωτὸς, ἵνα μὴ ταραττόμενοι μηδ' ἀλγοῦντες ὑπὸ τῶν ἅπαντα μεμφομένων καὶ πᾶσιν ἐγκαλούντων, καταφεύγωσιν εἰς τὴν τοῦ κόλακος σκιὰν, καὶ πρὸς τὸ
9 μὴ λυποῦν ἀποστρέφωνται. Πᾶσαν μὲν γὰρ, ὦ Φιλόπαππε, κακίαν φευκτέον ἐστὶ δι' ἀρετῆς, οὐχὶ διὰ τῆς ἐναντίας κακίας, ὥσπερ ἔνιοι δοκοῦσιν, αἰσχυντηλίαν μὲν ἀναισχυντίᾳ φεύγειν, ἀγροικίαν δὲ βωμολοχίᾳ, δειλίας δὲ καὶ μαλακίας ἀπωτάτω τίθεσθαι τὸν τρόπον, ἂν ἔγγιστα φαίνωνται λαμυρίας καὶ θρα-
10 σύτητος. Ἔνιοι δὲ καὶ δεισιδαιμονίας ἀθεότητα, καὶ πανουργίαν ἀβελτηρίας ἀπολόγημα ποιοῦνται, καθάπερ ξύλον τὸ ἦθος ἐκ καμπῆς εἰς τοὐναντίον, ἀπειρίᾳ τοῦ κατορθοῦν, διαστρέ-
11 φοντες. Αἰσχίστη δὲ κολακείας ἄρνησις, ἀνωφελῶς λυπηρὸν εἶναι, καὶ κομιδῇ τινος ἀμούσου καὶ ἀτέχνου πρὸς εὔνοιαν ὁμιλίας, ἀηδίᾳ καὶ χαλεπότητι φεύγειν τὸ ἀγεννὲς ἐν φιλίᾳ καὶ ταπεινόν· ὥσπερ ἀπελεύθερον ἐν κωμῳδίᾳ τὴν κατηγορίαν
12 ἰσηγορίας ἀπόλαυσιν ἡγούμενον. Ἐπεὶ τοίνυν αἰσχρὸν μέν ἐστι κολακείᾳ περιπεσεῖν, διώκοντα τὸ πρὸς χάριν, αἰσχρὸν δὲ, φεύγοντα κολακείαν, παῤῥησίας ἀμετρίᾳ διαφθεῖραι τὸ φιλικὸν καὶ κηδεμονικόν· δεῖ δὲ μηδέτερον παθεῖν, ἀλλ' ὥσπερ ἄλλῳ τινί, καὶ τῇ παῤῥησίᾳ τὸ καλὸν ἐκ τοῦ μετρίου λαβεῖν· αὐτὸς ἔοικεν ὁ λόγος ὁ τὸ ἐφεξῆς ἀπαιτῶν ὑποτιθέναι τοῦτο τῇ τοῦ συγγράμματος κορωνίδι.

κς. Ὥσπερ οὖν κῆράς τινας ἐπούσας τῇ παῤῥησίᾳ πλείονας ὁρῶντες, πρῶτον ἀφαιρῶμεν αὐτῆς τὴν φιλαυτίαν, εὖ μάλα φυλαττόμενοι, μὴ διά τι τῶν ἰδίων οἷον ἀδικούμενοι καὶ ἀλ-
2 γοῦντες ἐξονειδίζειν δοκῶμεν. Οὔτε ὑπ' εὐνοίας, ἀλλ' ὑπ' ὀργῆς οἴονται γίνεσθαι τὸν ὑπὲρ αὐτοῦ τοῦ λέγοντος γινόμενον λόγον, οὔτε νουθεσίαν, ἀλλὰ μέμψιν εἶναι. Φιλικὸν γὰρ ἡ παῤῥησία καὶ
3 σεμνόν· ἡ δὲ μέμψις καὶ φίλαυτον καὶ μικρολόγον. Ὅθεν αἰδοῦνται τοὺς παῤῥησιαζομένους καὶ θαυμάζουσι, τοῖς δὲ μεμφομένοις ἀντεγκαλοῦσι καὶ καταφρονοῦσιν· ὥσπερ ὁ Ἀγαμέμνων τὸν Ἀχιλλέα παῤῥησιάζεσθαι δοκοῦντα μετρίως οὐχ ὑπέμεινε· τοῦ δ' Ὀδυσσέως καθαπτομένου πικρῶς καὶ λέγοντος,

11. Αἰσχίστη δὲ κολακείας ἄρνησις— ἐκ τοῦ μετρίου λαβεῖν) Καὶ ἡ φιλία, ὡς ἀρετὴ ἐν μέσῳ κειμένη, ἔχει δύο ἄκρα, ἀντίθετα ἐλαττώματα. Ἀριστοτ. Ἠθικ. Νικομ. Β', 7. «Περὶ δὲ τὸ λοιπὸν ἡδὺ ἐν τῷ βίῳ, ὁ μὲν ὡς δεῖ ἡδὺς ὢν, φίλος, καὶ ἡ μεσότης φιλία· ὁ δὲ ὑπερβάλλων, εἰ μὲν οὐδενὸς ἕνεκα, ἄρεσκος· εἰ δ' ὠφελείας τῆς αὐτοῦ, κόλαξ· ὁ δ' ἐλλείπων καὶ ἐν πᾶσιν ἀηδὴς, δύσερίς τις καὶ δύσκολος.»

κς'. 3. τὸν Ἀχιλλέα παῤῥησιάζεσθαι δοκοῦντα μετρίως) Τὸ δοκοῦντα ἔχαν ὑπεννοούμενον τὸ ἑαυτῷ.

Οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου
Σημαίνειν,

εἴκει καὶ καρτερεῖ, τῷ κηδεμονικῷ τοῦ λόγου καὶ νοῦν ἔχοντι
συστελλόμενος. Οὗτος μὲν γὰρ οὐκ ἔχων ἰδίαν πρόφασιν ὀργῆς, 4
ἐπαῤῥησιάζετο πρὸς αὐτὸν ὑπὲρ τῆς Ἑλλάδος· ἐκεῖνος δὲ δι' αὐτῶν
ἐδόκει μάλιστα χαλεπαίνειν. Αὐτός γε μὴν ὁ Ἀχιλλεύς, καίπερ 5
οὐ γλυκύθυμος ὢν οὐδ' ἀγανόφρων, ἀλλὰ

Δεινὸς ἀνήρ, οἷος καὶ ἀναίτιον αἰτιᾶσθαι,

παρεῖχε τῷ Πατρόκλῳ σιωπῇ καταφέρειν αὐτοῦ πολλὰ τοιαῦτα,

Νηλεές, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεύς,
Οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σ' ἔτικτε θάλασσα,
Πέτραι τ' ἠλίβατοι· ὅτι τοι νόος ἐστὶν ἀπηνής.

ὥσπερ γὰρ Ὑπερίδης ὁ ῥήτωρ ἠξίου σκοπεῖν Ἀθηναίους μὴ
μόνον, εἰ πικρός ἐστιν, ἀλλ' εἰ καὶ προῖκα πικρός· οὕτως ἡ τοῦ
φίλου νουθεσία καθαρεύουσα παντὸς ἰδίου πάθους, αἰδεστόν ἐστι
καὶ σεμνὸν καὶ ἀναντίβλεπτον. Ἐὰν δὲ δὴ καὶ φανερὸς ᾖ τις 6
ἐν τῷ παῤῥησιάζεσθαι, τὰ μὲν εἰς αὐτὸν ἁμαρτήματα τοῦ φίλου
κομιδῇ προϊέμενος καὶ ἀπολείπων, ἄλλας δέ τινας αὐτοῦ πλημμε-
λείας ἐλέγχων, καὶ δάκνων ἐφ' ἑτέροις, καὶ μὴ φειδόμενος, ἄμα-
χος ὁ τόνος τῆς παῤῥησίας οὗτός ἐστι, καὶ τῇ γλυκύτητι τοῦ
νουθετοῦντος ἐπιτείνων τὸ πικρὸν καὶ αὐστηρὸν τῆς νουθεσίας.
Ὅθεν εὖ μὲν εἴρηται, Τὸ δεῖν ἐν ταῖς ὀργαῖς καὶ ταῖς διαφο- 7
ραῖς ταῖς πρὸς τοὺς φίλους μάλιστα πράττειν τι καὶ σκοπεῖν
τῶν ἐκείνοις συμφερόντων ἢ πρεπόντων· οὐχ ἧττον δὲ τούτου φι-
λικόν ἐστι, τὸ παρορᾶσθαι καὶ ἀμελεῖσθαι δοκοῦντας αὐτούς,
ὑπὲρ ἄλλων ἀμελουμένων παῤῥησιάζεσθαι, καὶ ὑπομιμνήσκειν,
ὡς Πλάτων ἐν ταῖς πρὸς Διονύσιον ὑποψίαις καὶ διαφοραῖς
ᾐτήσατο καιρὸν ἐντυχίας· εἶτα ὁ μὲν ἔδωκεν, οἰόμενος ὑπὲρ αὐ-
τοῦ τι μέμψασθαι τὸν Πλάτωνα καὶ διελθεῖν· ὁ δὲ Πλάτων
οὕτω πως διελέχθη πρὸς αὐτόν, Εἴ τινα αἴσθοιο, Διονύσιε, δυσ-
μενῆ πεπλευκότα εἰς Σικελίαν, κακόν τι σὲ ποιῆσαι βουλόμενον,

— Οὐλόμεν', αἴθ' —) Ἰλιάδ. Ξ. 84.

5 Οὐ γλυκύθυμος ὢν οὐδ' ἀγανόφρων) Ἰλιάδ. Υ. 467.

— Δεινὸς ἀνήρ, οἷος) Ἰλιάδ. Λ. 652-653.
«Εὖ δὲ σὺ οἶσθα, γεραιὲ διοτρεφές, οἷος ἐκεῖνος
«Δεινὸς ἀνήρ. Τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο.»

καὶ Ἰλ. Ν. 775.
«Ἕκτορ, ἐπεί τοι θυμοῦ ἀναίτιον αἰτιάασθαι.»

— Νηλεές) Ἰλιάδ. Π. 33.

— Ὑπερίδου) Ὁ Πλούταρχος ἐν β'.
Φωκίωνος λέγει «Καίτοι φασὶν Ὑπερί-
δην ποτὲ εἰπεῖν πρὸς τὸν δῆμον, Ἄν-
δρες Ἀθηναῖοι, μὴ σκοπεῖτε μόνον εἰ
πικρός, ἀλλ' εἰ προῖκά εἰμι πικρός.» Τὸ
δὲ προῖκα σημαίνει ἐνταῦθα ἀδεκάστως,
ἀδιαφθόρως, ἀδωροδόκητος ὤν. Ὡς ἐν β.
Κίμωνος· «αὐτὸν ἀδέκαστον καὶ ἄθικτον
ἐν τῇ πολιτείᾳ δωροδοκίας, καὶ πάντα
προῖκα καὶ καθαρῶς πράττοντα καὶ λέ-
γοντα διὰ τέλους παρέσχε.»

7. Εὖ μὲν εἴρηται) Με τὸ σχῆμα τοῦ-
το δηλοῖ, ὅτι ξένην καὶ γνωστὴν γνώμην
ἐκφέρει ὁ συγγραφεύς.



Ε.Υ.Ζ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

οὐκ ἔχοντα δὲ καιρόν, ἆρ' ἂν ἐάσειας αὐτὸν ἐκπλεῦσαι, καὶ περιόδοις ἀθῶον ἀπαλλαγέντα; Πολλοῦ δέω, εἶπεν ὁ Διονύσιος, ὦ Πλάτων· δεῖ γὰρ οὐ τὰ ἔργα τῶν ἐχθρῶν μόνον, ἀλλὰ καὶ
8 τὴν προαίρεσιν μισεῖν καὶ κολάζειν. Εἰ τοίνυν, εἶπεν ὁ Πλάτων, ἐπ' εὐνοίᾳ τις ἀφιγμένος τῇ σῇ δεῦρο, βούλεται μὲν ἀγαθοῦ τινος αἴτιός σοι γενέσθαι, σὺ δὲ καιρὸν οὐ παρέχεις, ἄξιόν ἐ-
9 στι τοῦτον ἀχαρίστως προέσθαι καὶ ὀλιγώρως; Ἐρωτήσαντος δὲ τοῦ Διονυσίου, τίς οὗτός ἐστιν; Αἰσχίνης, εἶπεν, ἀνὴρ τῷ τε ἤθει παρ' ὁντινοῦν τῶν Σωκράτους ἑταίρων ἐπιεικής, καὶ τῷ λόγῳ δυνατὸς ἐπανορθοῦν, οἷς συνείη· πλεύσας δὲ δεῦρο πολλὴν θάλατ-
10 ταν, ὡς συγγένοιτό σοι διὰ φιλοσοφίας, ἠμέληται. Ταῦτα οὕτως ἐκίνησε τὸν Διονύσιον, ὥστε τὰς μὲν χεῖρας τῷ Πλάτωνι εὐθὺς περιβαλεῖν καὶ κατασπάζεσθαι, τὴν εὐμένειαν καὶ μεγαλοφροσύνην ἀγάμενον, τοῦ δ' Αἰσχίνου καλῶς καὶ μεγαλοπρεπῶς ἐπιμεληθῆναι.

κζ'. Δεύτερον τοίνυν ὥσπερ ἐκκαθαίροντες ὕβριν ἅπασαν, καὶ γέλωτα, καὶ σκῶμμα, καὶ βωμολοχίαν, ἡδύσματα πονη-
2 ρὰ τῆς παῤῥησίας ἀφαιρῶμεν. Ὥσπερ γὰρ ἰατροῦ σάρκα τέμνοντος, εὐρυθμίαν τινὰ δεῖ καὶ καθαριότητα τοῖς ἔργοις ἐπιτρέπειν, ὀρχηστικὴν δὲ καὶ παράβολον καὶ περιτρέχουσαν ὑγρότητα καὶ περιεργίαν ἀπεῖναι τῆς χειρός· οὕτως ἡ παῤῥησία δέχεται τὸ ἐπιδέξιον καὶ τὸ ἀστεῖον, ἂν ἡ χάρις τὴν σεμνότητα σώζῃ· θρασύτης δὲ καὶ βδελυρία καὶ ὕβρις προσοῦσα πάνυ
3 διαφθείρει καὶ ἀπόλλυσιν. Ὅθεν ὁ μὲν ψάλτης οὐκ ἀπιθάνως οὐδὲ ἀμούστως ἐπεστόμισε τὸν Φίλιππον, ἐπιχειροῦντα περὶ κρουμάτων διαφέρεσθαι πρὸς αὐτόν, εἰπών, Μὴ γένοιτό σοι οὕ-
4 τως, ὦ βασιλεῦ, κακῶς, ἵνα ἐμοῦ βέλτιον ταῦτα εἰδῇς. Ἐπίχαρμος δὲ οὐκ ὀρθῶς, τοῦ Ἱέρωνος ἀνελόντος ἐνίους τῶν συνήθων, καὶ μεθ' ἡμέρας ὀλίγας καλέσαντος ἐπὶ δεῖπνον αὐτόν, Ἀλ-
5 λὰ πρώην, ἔφη, θύων τοὺς φίλους οὐκ ἐκάλεσας. Κακῶς δὲ καὶ Ἀντιφῶν, παρὰ Διονυσίῳ ζητήσεως οὔσης καὶ λόγου, Ποῖος

---

10. Πλάτωνι— ἐπιμεληθῆναι) Ἴδε Διογ. Λαέρτ. Β'. 61, Γ'. 36.

κζ'. Ὥσπερ ἐκκαθαίροντες ὕβριν ἅπασαν) Ἀφανὴς ἐνταῦθα σχεδὸν ἡ δύναμις τοῦ ὥσπερ. Ἴσως φανερόνει σύγκρισιν πρὸς τὴν μεγάλην τοῦ Ἡρακλέους δόξαν, τὴν ὁποίαν ἔλαβεν ἐκκαθάρας τῶν ὑβριστῶν τὸν Κόσμον.

3. Ὁ μὲν ψάλτης—ἐπεστόμισε τὸν Φίλιππον) τὸν τοῦ Μ. Ἀλεξάνδρου πατέρα. Ἴδε Πλουτάρχ. Ἀποφθέγμ.

4. Ἐπίχαρμος—ἐκάλεσας) Καὶ τοῦτο ἐκ τῶν ἅπαξ μνημονευομένων εἶναι. Παρὰ δὲ Ἰαμβλίχ. β. Πυθαγ. § 266. ταῦτα ἀναφέρονται περὶ Ἐπιχάρμου· «Τῶν δ' ἔξωθεν ἀκροατῶν γενέσθαι καὶ τὸν Ἐπίχαρμον· ἀλλ' οὐκ ἐκ τοῦ συστήματος τῶν ἀνδρῶν· ἀφικόμενον δὲ εἰς Συρακούσας, διὰ τὴν Ἱέρωνος τυραννίδα τοῦ μὲν φανερῶς φιλοσοφεῖν ἀποσχέσθαι, εἰς μέτρον δ' ἐντεῖναι τὰς διανοίας τῶν ἀνδρῶν, μετὰ παιδιᾶς κρύφα ἐκφέροντα τὰ Πυθαγόρου δόγματα.»

5—7. Ἀντιφῶν, παρὰ Διονυσίῳ— ἀ·

Ε.Υ.Δ. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

χαλκὸς ἄριστος, Ἐκεῖνος, εἶπεν, ἐξ οὗ κατεσκεύασαν Ἀθηναῖοι
τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας. Οὔτε γὰρ ὠφελεῖ 6
τούτων τὸ λυπηρὸν καὶ πικρὸν, οὔτε τέρπει τὸ βωμολόχον καὶ
παιδιῶδες, ἀλλ' ἔστι κακοηθείᾳ καὶ ὕβρει μεμιγμένης ἀκρασί-
ας μετ' ἔχθρας τὸ τοιοῦτον εἶδος, ᾧ χρώμενοι προσαπολλύ-
ουσιν αὐτοὺς, τὴν περὶ τὸ φρέαρ ὄρχησιν ἀτεχνῶς ὀρχούμενοι.
Καὶ γὰρ Ἀντιφῶν ἀπέθανεν ὑπὸ Διονυσίου, καὶ Τιμαγένης ἐ- 7
ξέπεσε τῆς Καίσαρος φιλίας, ἐλευθέρᾳ μὲν οὐδέποτε φωνῇ
χρησάμενος, ἐν δὲ τοῖς συμποσίοις καὶ τοῖς περιπάτοις ἑκάσ-
τοτε πρὸς οὐδ' ἡντινοῦν σπουδήν,

— ἀλλ' ὅ, τι οἱ εἴσαιτο γελοίιον Ἀργείοισιν,

αἰτίαν φιλίας ὥσπερ σόφισμα λοιδορίας προσφερόμενος. Ἐπεὶ 8
καὶ τοῖς κωμικοῖς πολλὰ πρὸς τὸ θέατρον αὐστηρὰ καὶ πολι-
τικὰ πεποίηται· συμμιγνύμενον δὲ τὸ γελοῖον αὐτοῖς καὶ βωμο-
λόχον, ὥσπερ σιτίοις ὑπότριμμα μοχθηρὸν, ἐξίτηλον ἐποίει τὴν
παῤῥησίαν καὶ ἄχρηστον· ὥστε περιῆν κακοηθείας δόξα καὶ
βδελυρία τοῖς λέγουσι, χρήσιμον δὲ τοῖς ἀκούουσιν οὐδὲν ἀπὸ
τῶν λεγομένων. Ἄλλως μὲν οὖν προσοιστέον ἐστὶ καὶ παιδιὰν 9
καὶ γέλωτα τοῖς φίλοις· ἡ δὲ παῤῥησία σπουδὴν ἐχέτω καὶ ἦ-
θος· ἐὰν δὲ ὑπὲρ μειζόνων ᾖ, καὶ πάθει, καὶ σχήματι, καὶ τό-
νῳ φωνῆς, ὁ λόγος ἀξιόπιστος ἔστω καὶ κινητικός. Ὁ δὲ και- 10
ρὸς ἐν παντὶ μὲν παρεθεὶς, μεγάλα βλάπτει, μάλιστα δὲ τῆς
παῤῥησίας διαφθείρει τὸ χρήσιμον. Ὅτι μὲν οὖν ἐν οἴνῳ καὶ 11
μέθῃ τὸ τοιοῦτον φυλακτέον, εὔδηλόν ἐστιν. Εὐδίᾳ γὰρ ἐπάγει 12
νέφος ὁ κινῶν ἐν παιδιᾷ καὶ φιλοφροσύνῃ λόγον ὀφρῦν ἀνασπῶν-
τα καὶ συνιστάντα τὸ πρόσωπον, ὥσπερ ἀντιταττόμενον τῷ
Λυδίῳ θεῷ, καὶ λύοντι τὸ τῶν δυσφόρων σχοινίον καὶ μεριμνῶν,
κατὰ Πίνδαρον. Ἔχει δὲ καὶ κίνδυνον ἡ ἀκαιρία μέγαν. Ἀκρο- 13

---

πέθανεν ὑπὸ Διονυσίου) Ὁ Ἀντιφῶν οὗτος τραγικὸς ποιητὴς ὢν, πρέπει νὰ διακρίνηται ἀπὸ τὸν Ἀθηναῖον ῥήτορα Ἀντιφῶντα.

— Τὴν περὶ τὸ φρέαρ ὄρχησιν) Παροιμία «Λύκος περὶ φρέαρ χορεύει.» Ἴδε Ζηνόβ. Δ'. 100.

— Ἀλλ' ὅ,τι οἱ εἴσαιτο) ὡς ὁ παρ' Ὁμήρ. Ἰλ. Β. 215 Θερσίτης.

10. Καιρὸς— παῤῥησίας) Ὁ Δημόκριτος παρὰ Στοβ. λόγ. ΙΓ'. «περὶ παῤῥησίας.» Ὅθεν ὁ Στέφανος μετήνεγκεν εἰς τὸ Ποίητ. Φιλοσοφ. «Οἰκήϊον ἐλευθερίης παῤῥησίη, κίνδυνος δὲ ἡ τοῦ καιροῦ διάγνωσις.»

12. Εὐδίᾳ γὰρ ἐπάγει νέφος— πρόσωπον) Εὐδία, σημαίνουσα τὸ γαληναῖον τοῦ Οὐρανοῦ, λαμβάνεται μεταφορικῶς ἐπὶ τῆς ἱλαρότητος τῆς ψυχῆς καὶ τοῦ προσώπου. Οὕτω Νικόστρατ. παρὰ Στοβ. λόγ. ξη'. σελ. 425. «Ὁ δέ γε συνάγων τὰς ὀφρῦς, σκαιοῦ ἐστι· καὶ ὅτῳ οὐκ ἐπανθεῖ ἐρύθημα, ἀλλὰ σκότος τε καὶ νέφος, τούτου τε ἡ ψυχὴ οὐδαμῇ οὐδαμῶς εὐφραίνεται.»

— Τῷ Λυδίῳ θεῷ, καὶ λύοντι—κατὰ Πίνδαρον) Ἀντὶ τοῦ Λυδίῳ εἶνε ἀνάγκη νὰ γραφῇ Λυαίῳ ἢ Λυσίῳ, ὡς καὶ εἰς τόδε τὸ Συμποσ. τὸ χωρίον. «Εἶδε πάντων μὲν ὁ Διόνυσος Λύσιός ἐστι καὶ Λύδιος, μάλιστα δὲ ἀφαιρεῖται τῆς γλώττης τὰ χαλινὰ καὶ πλείστην ἐλευ-

ΕΥ.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σφαλεῖς γὰρ εἰσιν αἱ ψυχαὶ πρὸς ὀργὴν διὰ τὸν οἶνον, καὶ πολλάκις ἡ
14 μέθη παραλαβοῦσα τὴν παῤῥησίαν, ἔχθραν ἐποίησε. Καὶ ὅλως οὐκ ἔστι γενναῖον οὐδὲ θαῤῥαλαῖον, ἀλλ' ἄνανδρον, ἐν τῷ νήφειν ἀπαῤῥησίαστον ὄντα, παῤῥησιάζεσθαι περὶ τράπεζαν, κατὰ
15 τοὺς δειλοὺς κύνας. Οὐδὲν οὖν δεῖ περὶ τούτων λέγοντα μηκύνειν.

κη'. Ἐπεὶ δὲ πολλοὶ τοὺς φίλους εὖ φερομένους ἐν τοῖς πράγμασιν οὔτε ἀξιοῦσι οὔτε τολμῶσι ῥυθμίζειν, ἀλλ' ὅλως ἀπρόσιτον καὶ ἀνέφικτον ἡγοῦνται νουθεσίᾳ τὸ εὐτυχοῦν εἶναι, σφαλλομένοις δὲ καὶ πταίουσιν ἐπιτίθενται, καὶ πατοῦσιν ὑπὸ χεῖρα καὶ ταπεινοὺς γεγενημένους, ὥσπερ ῥεῦμα κεκρατημένον παρὰ φύσιν, τὴν παῤῥησίαν ἀθρόως ἐφιέντες αὐτοῖς, καὶ ἀπολαύοντες ἄσμενοι τῆς μεταβολῆς, διὰ τὴν πρόσθεν ὑπεροψίαν ἐκείνων, αὑτῶν δὲ ἀσθένειαν· οὐ χεῖρόν ἐστι περὶ τούτων διελθεῖν καὶ ἀποκρίνασθαι τῷ Εὐριπίδῃ λέγοντι,

Ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;

ὅτι δεῖ μάλιστα παῤῥησιαζομένων τῶν φίλων τοῖς εὐτυχοῦσι,
2 καὶ τὸ ἄγαν ὑφιέντων τοῦ φρονήματος. Ὀλίγοι γάρ εἰσιν, οἷς μετὰ τοῦ εὐτυχεῖν παραγίνεται τὸ φρονεῖν· οἱ δὲ πολλοὶ φρενῶν ἐπεισάκτων δέονται, καὶ λογισμῶν πιεζόντων ἔξωθεν αὐτοὺς ὑπὸ
3 τῆς τύχης φυσωμένους καὶ σαλευομένους. Ὅταν δὲ ὁ δαίμων καταβάλῃ καὶ περιέλῃ τὸν ὄγκον, αὐτοῖς τοῖς πράγμασιν ἔνε-
4 στι τὸ νουθετοῦν καὶ μετάνοιαν ἐμποιοῦν. Ὅθεν οὐδὲν ἔργον τότε παῤῥησίας φιλικῆς, οὐδὲ λόγων βάρος ἐχόντων καὶ δηγμὸν, ἀλλ' ὡς ἀληθῶς ἐν ταῖς τοιαύταις μεταβολαῖς

Εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκὺ,

παρηγοροῦντος καὶ παραθαῤῥύνοντος· ὥσπερ τοῦ Κλεάρχου τὸ πρόσωπον ὁ Ξενοφῶν ἐν ταῖς μάχαις καὶ παρὰ τὰ δεινά φησιν

---

θερίαν τῇ φωνῇ δίδωσι, ἀβέλτερον οἶμαι καὶ ἀνόητον, ἐν λόγοις πλεονάζοντα καιρὸν ἀποστερεῖν τῶν ἀρίστων λόγων.

κη. Εὐριπίδῃ) Ὀρέστ. 668.

τοὺς φίλους
Ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν,
Ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί χρὴ φίλων;
Ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς ὠφελεῖν θέλων.

Ἴδε καὶ Ἀριστ. Ἠθικ. Νικομ. Θ', 9. Τῆς αὐτῆς δὲ ἐννοίας ἔχεται καὶ τόδε Ἡρακλ. Μαινόμ. « Θεοὶ δ' ὅταν τιμῶσιν, οὐδὲν δεῖ φίλων· ἅλις γὰρ ὁ θεὸς ὠφελῶν, ὅταν θέλῃ. »

— Τὸ ἄγαν ὑφιέντων τοῦ φρονήματος) Ὁ νοῦς· οἵτινες νὰ ὀλιγοστεύσωσι τὸ φρόνημα τοῦ φίλου ὑπερηφανευομένου.

2. Οἱ δὲ πολλοὶ φρενῶν ἐπεισάκτων δέονται) Ὁ Πλούταρχος φαίνεται, ὅτι ἀναφέρει ταῦτα πρὸς τό τε τοῦ Ἀριστ. χωρίον Ἠθικ. Νικομ. Θ, 9. «Οἱ πολλοὶ φίλους οἴονται τοὺς χρησίμους εἶναι· τῶν τοιούτων μὲν οὖν οὐδὲν δεήσεται ὁ μακάριος, ἐπειδὴ τ' ἀγαθὰ ὑπάρχει αὐτῷ. Οὐδὲ δὴ τῶν διὰ τὸ ἡδὺ, ἢ ἐπὶ μικρὸν· ἡδὺς γὰρ ὁ βίος ὢν, οὐδὲν δεῖται ἐπεισάκτου ἡδονῆς.

4. Ὁ Ξενοφῶν) Ἐν Κύρου Ἀναβάσει Β', 6, 7. καὶ Πλούταρχ. Συμποσ. Α'. σελ. 620. « ὥσπερ γὰρ ὁ Ξενοφῶν ἔλεγε τοῦ Κλεάρχου τὸ σκυθρωπὸν καὶ ἄγροικον ἄλλως, ἐν ταῖς μάχαις ἡδὺ καὶ φαιδρὸν ἐπιφαίνεσθαι διὰ τὸ θαῤῥαλέον, οὕτως ὁ

ΕΡΓΑΣΤΗΡΙΟ … ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ … ΦΙΛΟΣΟΦΙΑΣ … ΔΙΕΥΘΥΝΤΗΣ … ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ … ΙΩΑΝΝΙΝΑ 2006

ἡρώμενον εὐμενὲς καὶ φιλάνθρωπον, εὐθαρσεστέρους ἐποίει τοὺς
κινδυνεύοντας. Ὁ δὲ παῤῥησίαν καὶ δηγμὸν ἀνθρώπῳ δυστυ- 5
χοῦντι προσάγων, ὥσπερ ὀξυδορκικὸν ὄμματι ταρασσομένῳ καὶ
φλεγμαίνοντι, θεραπεύει μὲν οὐδέν, οὐδὲ ἀφαιρεῖ τοῦ λυποῦν-
τος, ὀργὴν δὲ τῇ λύπῃ προστίθησι, καὶ παροξύνει τὸν ἀνιώ-
μενον. Αὐτίκα γοῦν ὑγιαίνων μέν τις οὐ χαλεπός ἐστιν, οὐδ' 6
ἄγριος παντάπασιν ἀνδρὶ φίλῳ, ψέγοντι μὲν συνουσίας καὶ
πότους αὐτοῦ, ψέγοντι δὲ ἀργίαν, καὶ γυμνάσια, καὶ λουτρὰ
συνεχῆ, καὶ πλησμονὰς ἀκαίρους· νοσοῦντι δ' οὐκ ἀνεκτόν, ἀλλὰ
μεῖζον νόσος ἀκούειν, ὅτι ταῦτά σοι γέγονεν ἐξ ἀκρασίας καὶ
μαλακίας, καὶ δι' ὄψα, καὶ γυναῖκας. Ὦ τῆς ἀκαιρίας, ἄν- 7
θρωπε· διαθήκην γράφω, καὶ παρασκευάζεταί μοι καστόριον ἢ
σκαμμώνιον ὑπὸ τῶν ἰατρῶν· σὺ δὲ νουθετεῖς καὶ φιλοσοφεῖς. Οὕ- 8
τω τοίνυν καὶ τὰ πράγματα τῶν δυστυχούντων οὐ παῤῥησίαν
ἐνδέχεται καὶ γνωμολογίαν, ἀλλ' ἐπιεικείας δεῖται καὶ βοηθείας.
Καὶ γὰρ αἱ τίτθαι τοῖς παιδίοις πεσοῦσιν οὐ λοιδορησόμεναι προ- 9
τρέχουσιν, ἀλλ' ἤγειραν, καὶ περιέπλυναν, καὶ κατέστειλαν, εἶθ'
οὕτως ἐπιπλήττουσι καὶ κολάζουσι. Λέγεται δὲ καὶ Δημήτριος 10
ὁ Φαληρεύς, ὅτε τῆς πατρίδος ἐξέπεσε, καὶ περὶ Θήβας ἀδο-
ξῶν καὶ ταπεινὰ πράττων διῆγεν, οὐχ ἡδέως ἰδεῖν προσιόντα
Κράτητα, παῤῥησίαν κυνικὴν καὶ λόγους τραχεῖς προσδεχόμε-
νος· ἐντυχόντος δὲ πράως αὐτῷ τοῦ Κράτητος, καὶ διαλεχθέν-
τος περὶ φυγῆς, ὡς οὐδὲν ἔχοι κακὸν οὐδ' ἄξιον φέρειν βαρέως,
πραγμάτων σφαλερῶν καὶ ἀβεβαίων ἀπηλλαγμένων, ἅμα δὲ
θαῤῥεῖν ἐφ' ἑαυτῷ καὶ τῇ διαθέσει παρακαλοῦντος, ἥδιον γενό-
μενος καὶ ἀναθαρσήσας, πρὸς τοὺς φίλους εἶπε, Φεῦ τῶν πρά-
ξεων ἐκείνων καὶ ἀσχολιῶν, δι' ἃς ἄνδρα τοιοῦτον οὐκ ἔγνωμεν.

Λυπουμένῳ γὰρ μῦθος εὐμενὴς φίλων·
Ἄγαν δὲ μωραίνοντι νουθετήματα.

Οὗτος ὁ τρόπος τῶν γενναίων φίλων. Οἱ δ' ἀγεννεῖς καὶ τα- 11
πεινοὶ τῶν εὐτυχούντων κόλακες, ὥσπερ τὰ ῥήγματα καὶ τὰ
σπάσματά φησι Δημοσθένης, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ,
τότε κινεῖσθαι, καὶ οὗτοι ταῖς μεταβολαῖς ἐπιφύονται, καθάπερ
ἡδόμενοι καὶ ἀπολαύοντες. Καὶ γὰρ ἂν δέηται τινος ὑπομνή- 12

---

μὴ φύσει πικρὸς, ἀλλὰ σεμνὸς καὶ αὐστηρὸς, ἐν τῷ πίνειν ἀνιέμενος, ἡδίων γίνεται καὶ προσφιλέστερος. »

10. Δημήτριος ὁ Φαληρεύς.) Ὅταν ὁ Δημήτριος ὁ Πολιορκητὴς ἐκυρίευσε τὰς Ἀθήνας κατέφυγεν ὁ Φαληρεὺς εἰς τὰς Θήβας, κατεχομένας τότε ὑπὸ τοῦ Κασσάνδρου, πρὸ μικροῦ ἀνεγείραντος ταύτας, Ὀλυμ. 118, Σ. Π. Χ. 307. Ἀποθανόντος δὲ τοῦ Κασσάνδρου μετέβη εἰς Αἴγυπτον πρὸς Πτολεμαῖον τὸν υἱὸν τοῦ Λάγου Ὀλ. 120, 3. Τότε δὲ κατῴκει εἰς Θήβας ὁ Κυνικὸς Κράτης, τοῦ ὁποίου τὸν βίον γραφέντα ὑπὸ τοῦ Πλουτάρχου ὁ χρόνος μᾶς ὑστέρησε.

σεως, ἐν οἷς δι' αὐτὸν ἔπταισε βουλευσάμενος κακῶς, ἱκανόν ἐστι τὸ,

> Οὔτι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
> Πολλ' ἀπεμυθεόμην.

κθ'. Ἐν τίσιν οὖν σφοδρὸν εἶναι δεῖ τὸν φίλον, καὶ πότε
τῷ τόνῳ χρῆσθαι τῆς παῤῥησίας; ὅταν ἡδονῆς ἢ ὀργῆς ἢ ὕβρε-
ως ἐπιλαβέσθαι φερομένης οἱ καιροὶ παρακαλῶσιν ἢ κολοῦσαι
2 φιλαργυρίαν, ἢ πρὸς ἕξιν ἀντισχεῖν ἀνόητον. Οὕτως ἐπαῤῥη-
σιάζετο Σόλων πρὸς Κροῖσον ὑπ' εὐτυχίας ἀβεβαίου διεφθορότα
3 καὶ τρυφῶντα, τὸ τέλος ὁρᾷν κελεύσας. Οὕτως Σωκράτης
Ἀλκιβιάδην ἐκόλουε, καὶ δάκρυον ἐξῆγεν ἀληθινὸν ἐξελεγχο-
4 μένου, καὶ τὴν καρδίαν ἀνέστρεφε. Τοιαῦτα τὰ Κύρου πρὸς
Κυαξάρην, καὶ τὰ πρὸς Δίωνα Πλάτωνος, ὅτε λαμπρότατος
ἦν καὶ πάντας εἰς ἑαυτὸν ἀνθρώπους ἐπέστρεφε, διὰ τὸ κάλ-
λος τῶν πράξεων, καὶ τὸ μέγεθος, παρακελευομένου φυλάτ-
τεσθαι καὶ δεδιέναι τὴν αὐθάδειαν, ὡς ἐρημίᾳ ξύνοικον.
5 Ἔγραψε δὲ καὶ Σπεύσιππος αὐτῷ, μὴ μέγα φρονεῖν, εἰ πολὺς
αὐτοῦ λόγος ἐστὶν ἐν παιδαρίοις καὶ γυναίοις, ἀλλ' ὁρᾷν, ὅπως
ὁσιότητι καὶ δικαιοσύνῃ καὶ νόμοις ἀρίστοις κοσμήσας Σικελί-
6 αν εὐκλεᾶ θήσει τὴν Ἀκαδημίαν. Εὔκτος δὲ καὶ Εὔλαιος, ἑ-
ταῖροι Περσέως, εὐτυχοῦντι μὲν ἀεὶ πρὸς χάριν ὁμιλοῦντες καὶ
συνεπινεύοντες, ὥσπερ οἱ λοιποὶ, παρηκολούθουν· ἐπεὶ δὲ Ῥω-
μαίοις συμβαλὼν περὶ Πύδναν ἔπταισε καὶ ἔφυγε, προσπε-
σόντες ἐπετίμων πικρῶς, καὶ ἀνεμίμνησκον, ὧν ἐξήμαρτεν ἢ
παρεῖδεν, ἕκαστον ἐξονειδίζοντες, ἄχρις οὗ διαλγήσας ὁ ἄν-
θρωπος ὑπὸ λύπης καὶ ὀργῆς ἀμφοτέρους τῷ ξιφιδίῳ παίων
ἀνεῖλεν.

λ'. Ὁ μὲν οὖν κοινὸς οὕτω διωρίσθω καιρὸς οὓς δὲ παρέ-
χουσιν αὐτοὶ πολλάκις, οὐ χρὴ προΐεσθαι τὸν κηδόμενον φίλον,
2 ἀλλὰ χρῆσθαι. Καὶ γὰρ ἐρώτησις ἐνίοις καὶ διήγησις, καὶ ψό-
γος ὁμοίων ἐφ' ἑτέροις ἢ ἔπαινος, ὥσπερ ἐνδόσιμον εἰς παῤῥη-
3 σίαν ἐστίν. Οἷον ἐλθεῖν Δημάρατον εἰς Μακεδονίαν ἐκ Κορίν-

---

12. Οὔτι καθ' ἡμέτερόν γε) Ἰλ. Ι. 108.

κθ' 2. Σόλων πρὸς Κροῖσον) Ἡρόδοτ. 1, 30—32.

3. Σωκράτης Ἀλκιβιάδην ἐκόλουε—ἀνέστρεφε—) Ἐκ τοῦ Πλάτωνος. ἐλήφθη. Συμπ. σελ. 333. ὅπου λέγει αὐτοῦ ὁ Ἀλκιβιάδης «ὅταν γὰρ ἀκούω (Σωκράτους), πολύ μοι μᾶλλον ἢ τῶν κορυβαντιώντων ἥτε καρδία πηδᾷ καὶ δάκρυα ἐκχεῖται ὑπὸ τῶν λόγων τῶν τούτου.» Ἐν βίῳ Ἀλκιβ. Πλουταρχ. Ὁ δὲ Σωκράτους ἔρως — ὡς μὲν ἐκράτει τοῦ Ἀλκιβιάδου διὰ εὐφυΐαν, ἁπτομένων τῶν λόγων αὐτοῦ καὶ τὴν καρδίαν στρεφόντων, καὶ δάκρυα ἐκχεόντων.»

4. Δεδιέναι τὴν αὐθάδειαν ὡς ἐρημίᾳ ξύνοικον) Πλάτων. Ἐπιστολῇ Δ'. λέγει· «Μὴ οὖν λανθανέτω σε, ὅτι διὰ τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις καὶ τὸ πράττειν ἐστίν· ἡ δ' αὐθάδεια ἐρημίᾳ ξύνοικος.»

5. Σπεύσιππος — εὐκλεᾶ θήσει τὴν Ἀκαδημίαν) Ἴδε περὶ Σπευσίππου Διογ. Λαέρτιον Δ', 5.

6. Εὔκτος καὶ Εὔλαιος) Ἴδε Πολύβ. κθ'.

λ'. 3. Δημάρατον εἰς Μακεδονίαν ἐκ